πζ'. *Νικόλαος* ὁ Καισαρείας τῆς Παλαιστίνης ἔστη ἐπὶ τοῦ θρόνου ἐν ἔτει Χῃ ,ανς', ἀνὴρ παντοίᾳ ἀρετῇ κεκοσμημένος καὶ περίφημος μὲ ὄνομα διὰ τοῦτο εὐκλεέστατον. Οὗτος κυβερνήσας τὸν θρόνον καλῶς καὶ θεαρέστως ἔτη λγ' ἀφῆκε τὸ πρόσκαιρα. Ἐν δὲ τῷ ,αξγ' Χριστοῦ γεννήσεως Ῥωμανὸς ὁ Διογένης ἐβασίλευσεν ἔτη γ' καὶ μῆνας η', μεθ' ὃν Μιχαὴλ ὁ υἱὸς τοῦ Δούκα. ὁ Παραπινάκης, ἔτη ἕξ· μεθ' ὃν Νικηφόρος ὁ Βοτανειάτης ἔτη γ', καὶ ἐν τῷ ,απα' ἀπὸ Χριστοῦ γεννήσεως Ἀλέξιος ἐβασίλευσεν ὁ Κομνηνὸς ἔτη λζ' καὶ μῆνας δ'· ἐν δὲ τῷ η' ἔτει τῆς βασιλείας αὐτοῦ

πη' *Συμεὼν* ὁ *Εὐχέριος* ἐγένετο Ἱεροσολύμων, ἐφ' οὗ οἱ Λατῖνοι ἐκυρίευσαν τὴν Ἱερουσαλήμ. Κατὰ τὰς ἡμέρας ἐκείνας οἱ Σαρρακηνοὶ τῆς Ἱερουσαλὴμ ἡγεμόνες τοσοῦτον ἠγρίευσαν κατὰ τῶν χριστιανῶν καὶ ἐταλαιπώρησαν καὶ τῇ ὑπερβολῇ τῆς τυραννίας πτωχοὺς κατέστησαν, ὥστε οὐδεμίαν ἄλλην ἔχοντες παρηγορίαν οἱ εὐλογημένοι οὗτοι εἰς τὰ πικρά των ἔτρεχον δάκρυα καὶ εἰς τοὺς θλιβεροὺς ἀναστεναγμούς. Αὕτη δὲ ἡ ἄπληστος τῶν

*

τυράννων ἐκείνων καταδυναστεία καὶ ἁρπαγὴ καὶ ὕβρις οὐκ ἔβλαπτε καὶ κατέφθειρε μόνον τὰ ἔξω καὶ σωματικὰ ὑπάρχοντα· ἀλλὰ τὸ χείριστον τῆς ἀσυγκρίτου κακίας των ἦν καὶ ἀνυπομόνητον ἡ καταφρόνησις καὶ ὕβρις καὶ αὐτῶν τῶν θειων τοῦ Χριστοῦ μυστηριων· ὁτε γὰρ οἱ ἱερεῖς τοῦ Θεοῦ ἐπετέλουν τὴν ἀναίμακτον ἱεροτελεστίαν, οἱ ὠμοὶ ἐκεῖνοι καὶ ἀσεβέστατοι πηδῶντες ἕως καὶ εἰς αὐτὸ τὸ ἅγιον βῆμα, τί μὲν οὐκ ἐβλασφήμουν ἐμπαίζοντες τοὺς ἱερεῖς; τί δὲ τῶν ἀτόπων οὐκ ἔπραττον εἰς τὰ ἅγια; Ἐμοὶ μὲν καλὸν τὸ σιωπᾶν, ἐκείνοις δὲ ἀθέοις οὖσι τὸ ὁρᾶν. Εἰς τούτους τοὺς καιροὺς συνέβη καὶ ἦλθε διὰ προσκύνησιν τῶν ἁγίων τόπων πρεσβύτερός τις ἐρημίτης, Πέτρος τοὔνομα, καὶ ἰδὼν τὰς θλίψεις καὶ τὰ ἀνύποιστα τῶν χριστιανῶν βάσανα συνέπαθε τὴν καρδίαν, ἔκλαυσε καὶ αὐτὸς πικρότατα καὶ τῷ πατριάρχῃ καὶ κλήρῳ εἶπεν· "Ὑπομείνατε ἔτι ὀλίγον καιρὸν καὶ Θεοῦ βοηθεια ἐλευθεροῦσθε τῶν δεινῶν τούτων". Οὕτως εἰπὼν καὶ προσκυνήσας ἔδραμε μὲ θεῖον ζῆλον εἰς τὸν Ῥώμης, καὶ πεσὼν εἰς τοὺς πόδας αὐτοῦ ἐδιηγήσατο μὲ ποταμηδὸν δάκρυα πάσας τὰς ἀνυπομονήτους κακώσεις τῶν χριστιανῶν καὶ τῶν ἁγίων ἐν Ἱερουσαλὴμ ἐκκλησιῶν, ἃς ἔπασχον παρὰ τῶν Σαρρακηνῶν. Ὁ δὲ πάπας ταῦτα ἀκούσας ἐλυπήθη μεγάλως, ὡς εἰκός, καὶ πάραυτα καρδινάλεις καὶ ἐπισκόπους εἰς ὅλους τοὺς αὐθέντας τῶν Φράγκων ἀπέστειλε, παρακαλῶν αὐτοὺς νὰ σηκώσωσι τὸν σταυρὸν χωρίς τινος προφάσεως καὶ νὰ ὑπάγωσι νὰ ἐλευθερώσωσι τὴν Ἱερουσαλὴμ ἀπὸ τῆς τυραννίδος τῶν ἀσεβῶν· ἐφ' οἷς οἱ αὐθένται ἐκεῖνοι ὑπακούσαντες ἔτρεξαν μὲ μεγάλην δύναμιν· ἦν γὰρ ὁ ἀριθμὸς τῶν στρατευμάτων αὐτῶν τριακόσιαι μὲν χιλιάδες τὸ πεζικόν, ἑκατὸν δὲ χιλιάδες τὸ ἱππικόν. Καὶ πρῶτον μὲν ἐπὶ τὴν Ταρσὸν τῆς Κιλικίας ἐπιδραμόντες ἐπολέμησαν ἀνδρικῶς κυριεύσαντες αὐτήν, εἶτα δὲ καὶ τὴν Ἀντιόχειαν καὶ τὴν Λαοδίκειαν καὶ τὴν Τρίπολιν καὶ τὴν Τύρον καὶ τὴν Πτολεμαΐδα καὶ τὴν Παλαιστίνην πᾶσαν καὶ αὐτὴν τὴν ἁγίαν πόλιν Ἱερουσαλήμ, ἥτις ἐλήφθη ὑπ' αὐτῶν ἐν ἔτει Χριστοῦ γεννήσεως ,αϛθ', ἰουλίου ιε', ἡμέρα Παρασκευῇ· ἔνθα καὶ ἑπτὰ βασιλεῖς ἐβασίλευσαν ἔτη πη', ἤ, ὡς

ἄλλοι, ἔτη ρδ', ὧν ὁ πρῶτος οὐδέποτε ἠθέλησε διὰ εὐλάβειαν νὰ φορέσῃ κορώναν, λέγων· "Πῶς εἶναι δίκαιον νὰ φορέσω ἐγὼ στέφανον χρυσοῦν, ἔνθα ὁ παμβασιλεὺς Θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς μὲ ἀκάνθινον ἐστεφανώθη στέφανον"; Διὰ ταῦτα ἐχάρησαν οἱ χριστιανοὶ καὶ τὸν βασιλέα εὐφήμησαν. Οὐ μόνον δέ, ἀλλὰ καὶ ἀπὸ διαφόρων τόπων ἀπὸ τῶν χριστιανῶν πολλοὶ ἀκούσαντες τὴν τῶν Ἱεροσολύμων ἐκ τῶν Ἀγαρηνῶν ἐλευθερίαν προσῆλθον πανοικὶ καὶ κατῴκησαν ἐν Ἱερουσαλήμ. Οἱ δὲ βασιλεῖς οὗτοι καὶ πέραν ἐξουσίαζον τοῦ Ἰορδάνου, καὶ τὸ Χορὰχ ἢ Κορὰκ καὶ Σόπακ· ἐπολέμουν δὲ πάντοτε μετὰ τῶν Ἀράβων καὶ τῶν τῆς Αἰγύπτου σουλτάνων καὶ τῶν τῆς Δαμασκοῦ ἀμηράδων καὶ Βαβυλῶνος. Τὰ δὲ παλάτιά των ἔκτισαν εἰς τὰ ἀνατολικὰ καὶ νότια προαύλια καὶ στοὰς τῆς μεγάλης ἐκκλησίας τοῦ Παναγίου Τάφου, τὰ ὁποῖα ἔφθανον ἕως εἰς τὸν Φόρον, ἐν ᾧ ἦσαν αἱ ἐξωτερικαὶ τῶν προαυλίων πύλαι· τὰ δὲ μνήματά των εἶχον ἔνδον τοῦ ναοῦ, ἐγγὺς τῆς προσκυνητῆς τοῦ σωτῆρος Ἀποκαθηλώσεως καὶ ὑποκάτω τοῦ ἁγίου Γολγοθᾶ, ἐν οἷς ἐθάπτοντο· διὰ δὲ τὴν διοίκησιν αὐτῶν Φραγκοπατριάρχης ἐψηφίσθη παρὰ τοῦ πάπα Πασχάλη· οἱ δὲ τῶν Ῥωμαίων πατριάρχαι εἶχον τὴν οἴκησιν ἐν τῇ ἁγίᾳ Βηθλεέμ. Ὅθεν ὁ Συμεὼν ἢ Εὐχέριος, ὡς εἴπομεν, ἀποστερηθεὶς τῆς ἐξουσίας ὑπὸ τῶν Λατίνων, καὶ ἰδὼν οὐ μόνον τὴν ἀπανθρωπίαν αὐτῶν, ἀλλὰ καὶ τὰ σχίσματα καὶ τὰς αἱρέσεις, ἃς εἶχον, ἠγωνίσθη ὑπὲρ τῆς ἀληθείας καὶ κατὰ πρόσωπον αὐτῶν, καὶ τὸν κατὰ ἀζύμων θαυμάσιον συνεγράψατο λόγον ἐν τῇ ἁγίᾳ Βηθλεέμ· καὶ ἔτη ἕνδεκα πατριαρχεύσας ἀπῆλθε πρὸς Κύριον. Μετὰ δὲ τοῦτον

πθ'. *Εὐθύμιος* ἐπατριάρχευσεν ἔτη κγ', ἐν τῷ ιζ' χρόνῳ τῆς βασιλείας Ἀλεξίου τοῦ Κομνηνοῦ, καὶ ἐτελεύτησε· τὸ ζῆν δ' ἐκμετρήσαντος καὶ τοῦ Ἀλεξίου, ὁ υἱὸς αὐτοῦ ἐβασίλευσεν Ἰωάννης ὁ Κομνηνὸς ἐν ἔτει χιλιοστῷ ἑκατοστῷ δεκάτῳ ὀγδόῳ χρόνους εἰκοσιτέσσαρας ἢ κε' καὶ μῆνας ζ' ἢ η'· καὶ ἐν τῷ β' ἔτει τῆς βασιλείας αὐτοῦ ἐγένετο Ἱεροσολύμων

ν'. *Ἡράκλειος* ἦ, ὡς ἄλλοι, *Ἀγάπιος* ἔτη κδ' καὶ ἐκοι-

μήθη· ἀπεβίω δὲ καὶ ὁ Ἰωάννης καὶ ἐβασίλευσεν ὁ υἱὸς αὐτοῦ Μανουὴλ ὁ Κομνηνὸς ἐν ἔτει ,αρμγ' χρόνους λη', καὶ ἐν τῷ β' ἔτει τῆς βασιλείας αὐτοῦ Ἱεροσολύμων

ια'. *Ἰωάννης* πατριάρχης μετὰ τὸν Ἡράκλειον ἐγένετο χρόνους κβ', ὃς καὶ αὐτὸς συνέγραψε λόγους τρεῖς κατὰ ἀζύμων· καὶ ἐπὶ τοῦ Μανουὴλ δὲ ἦν ἐν τῇ ἐν Κωνσταντινουπόλει συνόδῳ παρών. Οὗτος ἀλλ' οὖν Μανουὴλ ὁ φιλόχριστος αὐτοκράτωρ (κατὰ τὸν Φωκᾶν ἐν τῇ ἐκφράσει τῶν ἁγίων τόπων), δι' ὃν εἶχε πόθον, τὸν Πανάγιον Τάφον ἐνεδύσατο μὲ καθαρὸν χρυσόν, δεικνύων τὴν πρὸς τὸν λυτρωτὴν ἑαυτοῦ πίστιν· τὴν δὲ περὶ τὸν Ἰορδάνην τοῦ Προδρόμου μονὴν ἐκ βάθρων ὑπὸ σεισμοῦ ἀνεστραμμένην ἐκ καινῆς ἀνωκοδόμησε, τοῦ ταύτης ἡγουμένου παρρησιάσαντος εἰς τοῦτον τὸν ἄνακτα καὶ παρακαλέσαντος αὐτὸν διὰ τὴν αὐτῆς ἀνέγερσιν· ὁμοίως καὶ τὴν μονὴν τοῦ προφήτου Ἠλιοῦ, τὴν μεταξὺ Ἱερουσαλὴμ καὶ Βηθλεὲμ ὑπάρχουσαν, ἥτις ὑπὸ τῶν παλαιτάτων μὲν ἀνηγέρθη ἀνδρῶν θεοφιλῶν, ἐκ δὲ τοῦ σεισμοῦ ριζόθεν κατέπεσε. Καὶ ταύτην ὁ αὐτὸς Κομνηνὸς ἐκ βάθρων ἀνήγειρε, μεσιτεύσαντος τοῦ ἡγουμένου αὐτῆς τῆς μονῆς, Σύρου ἀνδρός· ἔτι δὲ καὶ τὸν ἐπὶ τοῦ Ἁγίου Σπηλαίου τῆς σεβασμίας Βηθλεὲμ περικαλλέστατον ναὸν ἡ φιλότιμος αὐτοῦ τοῦ πορφυρογεννήτου χεὶρ ἀνήγειρε καὶ μὲ ψηφίδας κεχρυσωμένας ὅλον τὸν ναὸν κατεκόσμησεν, ἐφ' ὃν ὁ τῶν ἐν τῇ χώρᾳ Λατίνων παρένθετος ποιμὴν τὸν αὐτοκράτορα τάχα τῆς μεγαλοψυχίας ἀμειβόμενος ἐν διαφόροις τόποις, καὶ ἐν αὐτῷ τῷ θυσιαστηρίῳ τοῦ ἁγίου ὑπερθεν σπηλαίου, τὴν ὡραίαν ἐκείνου μορφὴν ἀνεστήλωσε. Ταῦτα ὁ Φωκᾶς. Ὁ δὲ Ἰωάννης ἐν τῷ κδ' ἔτει τῆς αὐτοκρατορίας τούτου τοῦ βασιλέως ἐτελεύτησε καὶ ἐγένετο [πατριάρχης Ἱεροσολύμων] οἱ μὲν λέγουσιν *Ἰωσήφ*, οἱ δὲ *Νικηφόρος*, οἱ δὲ μετὰ τὸν διαληφθέντα Εὐθύμιον *Ἀγάπιος*, εἶτα Σάββας, εἶτα *Εὐχέριος*, εἶτα *Ἰάκωβος*, εἶτα *Μρσένιος*, εἶτα *Ἰωάννης*, Ἀλλ' ἡμεῖς τούτους ἀφέντες πειθόμεθα μᾶλλον εἰς τὸν βίον τοῦ ἐν ἁγίοις Λεοντίου. Ὅθεν μετὰ τὸν Ἰωάννην

ιβ'. *Λεόντιος* τῆς Ἱερουσαλὴμ τὸν θρόνον ἐδέξατο ἔτη ιζ'.

ὃς ἦν ἀπὸ Στρουμίτζης (ἥτις τὸ πάλαι Τιβεριούπολις ἐλέγετο), εἰς τὰ πέρατα τῆς Μακεδονίας, εἶτα ἱερεὺς ἐν Πάτμῳ καὶ ἡγούμενος τῆς ἐκεῖσε μονῆς τοῦ θεολόγου Ἰωάννου· μεθ' ὃ εἰς Κωνσταντίνου ἀπάρας, τοῦ Ἱεροσολύμων προς Κύριον ἐκδημήσαντος, τῆς Ἱερουσαλὴμ πατριάρχης προεχειρίσθη ὑπὸ τοῦ αὐτοκράτορος Μανουὴλ τοῦ Κομνηνοῦ· ὑφ' οὗ παρακινηθείς, θέλων καὶ αὐτὸς νὰ προσκυνήσῃ τοὺς τόπους, ἐφ' οἷς δι' ἡμᾶς καθ' ἡμᾶς γεγονὼς ἐβεβαδίκει, ἐξέπλευσε καὶ εἰς τὴν Πτολεμαΐδα τὴν καὶ Ἄκκα λεγομένην ἐπεδήμησε, καὶ ἐξῆλθεν ἡ περὶ αὐτοῦ φήμη. Ὅθεν ἔτρεχον προς αὐτὸν τὰ πλήθη, οἱ μὲν τῆς εὐλογίας, οἱ δὲ τῆς ὑγιείας ἀπολαύσοντες· καὶ ἐκεῖθεν τὴν πορείαν διὰ τῆς Ναζαρὲτ ποιησάμενος ἀνέβη εἰς τὰ Ἱεροσόλυμα καὶ νυκτὸς εἰσῆλθεν ὁ ἱεράρχης εἰς αὐτήν, καὶ τοὺς πολλοὺς λαθὼν εἰσέβη εἰς τὸν ναὸν καὶ εἰς τὸν ζωοδόχον τοῦ Κυρίου Τάφον, καὶ προσκυνήσας γονυκλιτῶς τὰς εὐχὰς τῷ Κυρίῳ ἀπέδωκεν. Ἦν δὲ τότε ἡ Ἱερουσαλὴμ θλιβομένη ὑπὸ πολυημέρου ἀνομβρίας· ὁ δὲ Θεὸς ἐπὶ τῇ παρουσίᾳ καὶ εὐχῇ τοῦ γνησίου ποιμένος βροχὴν μεγίστην ἔβρεξεν, ἥτις τὰς στέρνας ἐγέμωσε καὶ τὰ χωράφια ἐπλήρωσεν. Ὁ οὖν τοῦ Θεοῦ λαὸς ἔγνω τὸν αἴτιον, δι' ὃν ὁ Θεὸς ταῦτα πεποίηκε καὶ ἐτίμα καὶ εὐφήμει, λέγοντες "ὁ ἀρχιερεὺς τοῦ Θεοῦ ὁ μέγας ὁ ἅγιος μὲ τὸν ἐρχομόν του ἀπὸ τοῦ κινδύνου τῆς δίψης ἡμᾶς διεσώσατο". Ὁ δὲ ἐπείσακτος τῶν Λατίνων ἀρχιερεὺς θυμῷ ἀδίκῳ νικηθεὶς ἔπεμψε τὴν νύκτα ἐνόπλους μὲ σπαθία νὰ θανατώσῃ τὸν μηδὲν ἀδικήσαντα· ἀλλ' ὁ ἀορασία πατάξας τοὺς Σύρους ποτέ, ζητοῦντας τὸν Ἐλισσαῖον, αὐτὸς καὶ τούτους ἐτύφλωσε· καὶ ὅλην τὴν νύκτα κοπιάσαντες οὐδὲν ἐτέλεσαν, καὶ προς τὸν ἀποστείλαντα ἐπιστρέψαντες ἅπαντα διηγήσαντο, λέγοντες ὅτι ἀκράτητός ἐστιν ὁ δίκαιος παντὶ τῷ ἐπιβουλεύοντι, ὑπὸ Θεοῦ φυλαττόμενος. Τοῦτο ἠκούσθη εἰς πᾶσαν τὴν Συρίαν, Κιλικίαν τε καὶ εἰς αὐτὸν τὸν Μανουὴλ τὸν Κομνηνόν, ὅστις φοβούμενος ἵνα μή τι καὶ πάθῃ ὁ ἅγιος, ἀπέστειλε ζητῶν νὰ ἐπιστρέψῃ εἰς Κωνσταντίνου. Τοῦτο καὶ ὁ τῆς Δαμασκοῦ κατάρχων, καίτοι Ἀγαρηνὸς ὤν, μαθὼν γράμμα προς αὐτὸν ἀπέστειλε, μὲ πᾶσαν εὔνοιαν

πρὸς ἑαυτὸν μετακαλούμενος καὶ ὑποσχόμενος νὰ χαρίσῃ αὐτῷ τὴν ἐκεῖσε τῶν χριστιανῶν ἐκκλησίαν, τὴν ἐπ' ὀνόματι τῆς Θεομήτορος, διὰ κατοικίαν του, καὶ νὰ παρέχῃ αὐτῷ σιτηρέσιον ἡμερούσιον ἀνὰ ἓν χρυσόν, ἤτοι φλωρίον· ὁ δὲ ἀντέγραψεν ἐπαινῶν καὶ εὐχαριστῶν τῷ ἀμηρᾷ διὰ τὴν καλήν του προαίρεσιν, καὶ φανερῶν ὅτι οὐ δύναται νὰ ἀπέλθῃ πρὸς αὐτόν, ἐπεὶ ὁ βασιλεὺς μαθὼν τὰ ὑπὸ τῶν Λατίνων πρὸς αὐτὸν κακουργηθέντα προσεκάλει πρὸς ἑαυτὸν διὰ γράμματος· ἐζήτει δὲ ἀπ' αὐτοῦ ἀντὶ πάσης δωρεᾶς τε καὶ χάριτος γράμμα διαυθεντευτικὸν ἀπὸ τῶν αὐτοῦ θαλαττίων κουρσάρων· ὁ δὲ ἀμηρᾶς εὐθὺς τὸ γράμμα ἀπέστειλε, ἐν ᾧ ἔγραφε νὰ μένῃ ἀπαθὴς κακῶν αὐτός τε καὶ οἱ μετ' αὐτοῦ Ῥωμαῖοι, προσεπιχαριζόμενος καὶ Λατίνους ἑξήκοντα, ἂν θελήσωσι μετ' αὐτοῦ νὰ συμπλεύσωσι (τὸ ὁποῖον γράμμα ἔδειξεν ὕστερον καὶ τῷ βασιλεῖ, εἰς ἔλεγχον τοῦ βασιλικοῦ φρονήματός τε καὶ πολιτεύματος), τοὺς ὁποίους πολλὰ παρακαλέσας καὶ πολλάκις νὰ λάβῃ τὴν ἄδειαν νὰ λειτουργήσῃ ἀρχιερατικῶς εἰς τὸν ζωοδόχον τοῦ Κυρίου Τάφον οὐκ ἔτυχε τῆς αἰτήσεως, ἀλλ' ἢ μόνον μόνης ὡς εἷς τῶν πολλῶν νὰ ἀξιωθῇ τῆς τοῦ ἁγίου τόπου προσκυνήσεως. Ὅθεν ἔγνω συμφέρον νὰ ἀπέλθῃ ἀπὸ τῆς Ἱερουσαλήμ· ὅπερ καὶ ἐγένετο. Φθάσας οὖν εἰς τὴν Βασιλεύουσαν τὸν βασιλέα εὐλογίας ἠξίωσε· καί ποτε ὁ τῆς Ἀντιοχείας πατριάρχης Κύριλλος νόσῳ ἐσχάτῃ κρατηθεὶς τὰ λοίσθια μόλις ἔπνει. Συνῆλθον οὖν ἄλλοι τῶν συγκλητικῶν καὶ τῆς συνόδου τὰ ἐξιτήρια αὐτοῦ ἐπισκεψόμενοι· συνῆλθε δὲ καὶ Θεοδόσιος ὁ τῆς Κωνσταντίνου πατριάρχης, συνῆλθε δὲ καὶ ὁ μέγας οὗτος, ὁ Ἱεροσολύμων Λεόντιος· καὶ κύκλῳ στάντες τοῦ κατακειμένου, ὅστις εἶχεν ἡμέρας ἓξ ἐκτάδην κείμενος καὶ ψυχορραγῶν, ἀναισθητῶν τε καὶ τὰ ἐπαγόμενα οὐδόλως εἰδώς. Οὗτοι λοιπὸν οἱ δύο τοῦ Χριστοῦ ἀρχιεράρχαι, ἐπεὶ μηδεμίαν ἄλλην βοηθῆσαι αὐτῷ βοήθειαν ἐν τοιούτῳ καιρῷ οὐκ εἶχον, ἔγνωσαν δι' ἐπιτιμίας ὡς ἀρχιερεῖς νὰ ἔλθῃ ὁ ἄγγελος ὁ τῇ ἐξόδῳ τοῦ θνήσκοντος ὑπηρετῶν νὰ ἐλευθερώσῃ τὸν κείμενον ταχύτερον. Ὅθεν ἀλλήλοις τὰ πρωτεῖα παρεῖχον διὰ τὸ περιὸν τῆς ταπεινώσεως, ὁ μὲν λέγων· "ἐπεὶ σὺ

πρόεδρος εἶ τοῦ τῆς Κωνσταντίνου θρόνου, σοὶ ἀνήκει τὰ τῆς ἐπιτιμίας ἐργάσασθαι· ἐγὼ γὰρ παρὰ τῶν κανόνων ὑπείκειν σοι ἐνταῦθα καὶ ἄνευ τῆς σῆς ἀδείας μηδὲν ποιεῖν ἀρχιερατικὸν προστέταγμαι"· ὁ δὲ Κωνσταντινουπόλεως αὖθις ἐνέκειτο λέγων· "Ἡ ἐξουσία οἶδεν ἐν καιρῷ τῇ ἀρετῇ νὰ παραχωρῇ ὅσα καὶ βούλεται". Ὅθεν ὁ θεῖος Λεόντιος ὑπενδοὺς εἰς τὴν τοῦ Θεοδοσίου ἐπιταγήν, καὶ ἁπλώσας εἰς τὸν ἀέρα τὴν τιμίαν αὐτοῦ χεῖρα καὶ κατασφραγισάμενος, ἐλεξε· "Τῷ φοβερῷ ὀνόματι τῆς ὁμοουσίου καὶ ζωαρχικῆς τριάδος τὴν ἐπιτιμίαν ἐπιτίθημί σοι, τοῦ Κυρίου ἄγγελε, καὶ ἡμῖν τοῖς ταπεινοῖς ὁμόδουλε· μὴ ἀναβάλῃς μηκέτι τὸν καιρὸν τοῦ λαβεῖν τὴν ψυχὴν τοῦ ἀδελφοῦ ἀπὸ τοῦ σώματος· μὴ ἄλλο τι, πλὴν τούτου· κυριακὸν ἐκτελέσεις ἐπίταγμα· μὴ εἰς δεσποτικὴν ἀνέλθῃς παράστασιν, μηδὲ τοῖς συνταξιώταις σου συμπαρασταίης, ἕως ἂν τὸ παρὸν ἐκτελέσῃς λειτούργημα". Εἶπε ταῦτα ὁ δίκαιος, ὁ δὲ ἄγγελος ὑπακούσας τὴν ψυχὴν τοῦ τῆς Θεουπόλεως σκήνους αὐτίκα ἐχώρισεν [1]. Ὁ δὲ πατριάρχης Λεόντιος συνεγράψατο καὶ περὶ τῆς ἁγίας τριάδος ἐν ιδ' κεφαλαίοις· κατὰ δὲ τὸ ,αρπα' ἔτος Χγ ὁ ἀείμνηστος Μανουὴλ κατέλιπε τὰ πρόσκαιρα καὶ ἐβασίλευσεν ὁ υἱὸς αὐτοῦ Ἀλέξιος ὁ Κομνηνὸς χρόνον ἕνα καὶ ἐσφάγη· ὁ δὲ σφαγεὺς αὐτοῦ καὶ θεῖος — φεῦ — Ἀνδρόνικος ἐτυράννησε χρόνους δύο καὶ μῆνας ἕξ· ἐφ' οὗ ὁ θαυμάσιος οὗτος καὶ παναγιώτατος Ἱεροσολύμων Λεόντιος τῇ ιδ' μαΐου ἀπῆλθεν εἰς τὰς αἰωνίους μονάς· τὸ δὲ τίμιον αὐτοῦ σῶμα τέθαπται ἐν τῷ ναῷ τοῦ ἀρχιστρατήγου τῶν Στείρου, θαύμασι καὶ μύροις εὐωδεστάτοις βρύον. Ἐν δὲ ,ςφϟζ' ἔτει Ἀδὰμ, ἀπὸ δὲ Χγ ,αρπς', Ἰσαάκιος ὁ Ἄγγελος ἐβασίλευσεν ἔτη η' μῆνας ς', τοῦ τυράννου Ἀνδρονίκου καὶ αὐτοῦ σφαγέντος. Μετὰ δὲ τὸν μακάριον Λεόντιον ὑπὸ τούτου τοῦ Ἰσαακίου πατριάρχης ἀνεδείχθη ὁ Ἱεροσολύμων

ηγ'. *Ἰωσήφιος*, τὸ γένος ἐκ Βενετικων, ἀσκητεύων ἐν τῇ τοῦ Στουδίου μονῇ, φίλος Ἰσαακίου καὶ πρὸ τῆς βασιλείας προειρηκὼς αὐτῷ πῶς μέλλει νὰ βασιλεύσῃ· τοῦ δὲ κατὰ τὴν πρόρρησιν βασιλεύσαντος, μεγίστης ἠξίωτο τιμῆς ὁ πατριάρχης καὶ τὰ

[1] Ὅρα τὸν Μακάριον Χρυσοκέφαλον τὰ περὶ τούτου εἰς πλάτος διηγούμενον.

μεγάλα δεδύνητο παρὰ τῷ βασιλεῖ καὶ πατριάρχης Ἱεροσολύμων προεβέβλητο. Ἐν τούτοις τοῖς χρόνοις καὶ μοναχός τις Γεράσιμος ἀνεκαίνισε τὸ ἐν Ἱερουσαλὴμ μοναστήριον τοῦ μεγάλου Εὐθυμίου καὶ διαθήκην ἐποίησεν εἰς τινας ἑτέρους μοναχούς· ἐν ᾗ καὶ ὁ βασιλικὸς πρεσβευτὴς Ἰωάννης ἦν παρὼν ὁ Τριχᾶς, ὁ λογοθέτης τῶν οἰκιακῶν· ἣν ὑπέγραψεν ὁ πατριάρχης Ἀρσένιος. ὃν καὶ παναγιώτατον καλεῖ ὁ μοναχὸς οὗτος Γεράσιμος, ὁ Βασὰν μητροπολίτης Γερμανός, ὁ Γάζης ὑπέρτιμος Μάτος, ὁ ἐπίσκοπος Βηθλεὲμ Ἠλίας. — Οἱ Λατῖνοι, ὡς εἴπομεν, εὑρισκόμενοι εἰς τὸ Κοράκ καὶ πέριξ ὥρμουν κατὰ τῶν Σαρρακηνῶν, ἐπιστρεφόντων ἀπὸ τοῦ Κιαμπέ, καὶ ἄλλους μὲν ἐγύμνωνον, ἄλλους δὲ ἐφόνευον· οἱ δὲ Ἀγαρηνοὶ μὴ δυνάμενοι τότε πρὸς αὐτοὺς ὑπερίσχυσαν ὅμως καὶ τὸ μέγα μοναστήριον τὸ ἐπὶ τοῦ Θαβωρίου ὄρους ἐκρήμνισαν, καὶ ὅσους εὗρον ἐκεῖσε ἐθανάτωσαν· ὅθεν ὁ περιβόητος τῆς θείας Μεταμορφώσεως ναὸς ἄχρι τῆς σήμερον οὕτω μένει κατηδαφισμένος. Ἀλλὰ τοῦτο τὸ ἔργον τῶν Λατίνων πολλάκις τελούντων, καὶ τῶν ἀπὸ Κιαμπὲ οὕτως ὑπ' αὐτῶν διαφθειρομένων, παρεκινήθησαν οἱ Ἀγαρηνοὶ εἰς θυμὸν καὶ συνήχθησαν πανταχόθεν μὲ ὀργὴν ἀκράτητον πλῆθος πολὺ σφόδρα, ἔχοντες στρατηγὸν τὸν Ἀγιούπην, τὸν μετονομασθέντα Σαλαδῖνον ἢ Σαλαχιδίν, τὸν ἀμηρᾶν τῆς Δαμασκοῦ· ὅστις συμπαραλαβὼν συμμάχους καὶ τοὺς Ἴβηρας ἐπέδραμε κατὰ Λατίνων· οὗτοι δὲ ἔτυχον τότε καὶ ἦσαν πρὸς ἀλλήλους μὲ ἔχθρας καὶ φιλονεικίας καὶ διαιρέσεις, ὅ τε ῥὴξ τῆς Ἱερουσαλὴμ Λουσιανὸς καὶ ὁ κόντε τῆς Τριπόλεως Ῥαϊμοῦνδος Ὅθεν ἐν τοιούτοις ὄντας τοὺς Λατίνους ἐκροτήθη ὁ πόλεμος· ἐνικήθησαν οἱ Φράγκοι· ἐλήφθη ἡ Συρία ὑπὸ τῶν Σαρρακηνῶν, ἡ Παλαιστίνη καὶ αὐτὴ ἡ Ἱερουσαλήμ· ἐκρατήθη καὶ ὁ Λουσιανὸς αἰχμάλωτος κατὰ τὴν Τιβεριάδα· ἐθανατώθησαν καὶ ἐκ τοῦ λαοῦ χιλιάδες διακόσιαι ἐν ἔτει Χγ αρπθ'· αἱ πόλεις κατεσκάφησαν· τὰ ἔσω καὶ ἔξω τῆς Ἱερουσαλὴμ μοναστήρια ἠφανίσθησαν, τὸ μοναστήριον τοῦ ὄρους τῶν Ἐλαιῶν κατ' ἐξαίρετον, τὸ δυτικὸν μέρος τοῦ ἐν Βηθλεὲμ μεγίστου ναοῦ· ὁ τίμιος σταυρὸς ὁ ἐπὶ τοῦ ναοῦ τῆς τοῦ Κυρίου Ἀναστάσεως κατεβιβάσθη καὶ εἰς τὰς

στράτας τῆς Ἱερουσαλὴμ παρεδειγματίσθη· τὰ καμπαναρεῖα, πλὴν τοῦ τῆς Ἀναστάσεως καὶ τῆς ἁγίας Βηθλεέμ, κατεκρημνίσθησαν· τὰ παράθυρα τοῦ ναοῦ τοῦ Παναγίου Τάφου μὲ ξηρόλιθον ἐκλείσθησαν· ἡ ὀρθομαρμάρωσις αὐτοῦ ἐξεβλήθη καὶ τὰ κύκλω αὐτοῦ κατεκρημνίσθησαν· ὁ οἶκος τοῦ Ἰωακεὶμ καὶ Ἄννης, ὁ περικαλλέστατος δηλαδὴ ναὸς ἔνθα ἐγεννήθη ἡ κυρία Θεοτόκος, ὁ ἐπὶ τῆς Προβατικῆς, Σαλαχίε ὑπὸ τοῦ Σαλαχιδὶν οἰκειωθεὶς ἐκαλέσθη καὶ ὠνομάσθη· τὸ Πατριαρχεῖον ζαμὶ καὶ διδασκαλεῖον τῶν Ἀγαρηνῶν ἐγένετο· καὶ ἂν ἔλειπεν ἡ μεγάλη ἐπιμέλεια τοῦ αὐτοκράτορος Ἰσαακίου τοῦ Ἀγγέλου, μὲ δῶρα φιλοφρονήσαντος τὸν Σαλαδῖνον, τὸν αὐθέντην τῆς Ἱερουσαλὴμ κατασταθέντα, καὶ πρεσβευσαμένου ἵνα μὴ κακοποιήσῃ τοὺς ὀρθοδόξους καὶ διαφθείρῃ τὰ σεβάσμια προσκυνήματα καὶ τὸν ναὸν τῆς Ἀναστάσεως. οὐκ ἂν ἔμενε μήτε σημεῖον εἰς τὰ προσκυνήματα. Οὗτος ὁ Σαλαδῖνος ἤνωσε τὴν ἐξουσίαν τῆς Βαβυλῶνος μὲ τὴν τῆς Αἰγύπτου, καὶ μὲ πόλεμον κατέλυσε τὴν ἀρχὴν τῶν Ἀράβων. Οὗτος ἔδωκε τόπους ἐν Ἱερουσαλὴμ τοῖς συμμάχοις Ἴβηρσι, τὸν ἅγιον Γολγοθᾶν, τὸ μοναστήριον τῆς ἁγίας Θέκλης, τὸ τοῦ Προδρόμου, τὸ τοῦ θεολόγου Ἰωάννου (ἐν ᾧ τὴν σήμερον οἱ Φράγκοι), τὸ τοῦ ἀποστόλου Ἰακώβου ἀδελφοῦ τοῦ Θεολόγου (ἐν ᾧ καὶ οἱ Ἀρμένιοι), τὸ τοῦ ἁγίου Νικολάου· οἱ δὲ Κόπται καὶ Χαμπαίσιοι καὶ Ἰακωβῖται καὶ Νεστοριανοὶ ἔλαβον ἐπὶ τούτου καὶ οὗτοι τόπους ἐν Ἱερουσαλήμ. Ὕστερον δὲ πάλιν φέρεται εἷς τινας τῶν ἱστορικῶν, ὅτι ἐν τῷ ασλ' Χγ ἔτει οἱ Φράγκοι μὲ πλῆθος πολὺ ἀπῆλθον εἰς ἀπολύτρωσιν τῆς Ἱερουσαλήμ, καὶ ὅτι ἔλαβεν αὐτὴν ὁ Φριδερῖκος μόνον μὲ τέχνας, χωρὶς τοῦ ἐκχέαι αἷμα, καὶ ἐκράτησαν μ' χρόνους· ἄλλοι δὲ ἱστοροῦσιν, ὅτι εὐθὺς πάλιν ἐδιώχθησαν καὶ οἱ χριστιανοὶ καὶ τὰ προσκυνήματα ἐκακουχήθησαν, καὶ τῆς πόλεως τὰ τείχη ἐχαλάσθησαν παρὰ τῶν Σαρρακηνῶν, πλὴν τοῦ θείου ναοῦ· μεσιτείᾳ γὰρ τοῦ πατριάρχου καὶ τῶν ὀρθοδόξων διεφυλάχθη ὁ ναός. Καὶ ταῦτα μὲν οὕτως· ὁ δὲ Ἱεροσολύμων Δοσίθεος καὶ ἀπὸ τούτου τοῦ θρόνου εἰς τὸν τῆς Κωνσταντίνου ἐπήρθη θῶκον, ἀποδιωχθέντος ὑπὸ τοῦ βασιλέως τοῦ

τῆς Κωνσταντίνου ποιμένος Λεοντίου. Ἀλλ' οὐ διῆλθε καιρὸς πολὺς καὶ πάντες ἐμίσουν τὸν Δοσίθεον ὡς φιλόθρονον, καὶ ἐπιβάτην αὐτὸν ἀλλοτρίας ἐκκλησίας ὠνόμαζον καὶ ἐκ τοῦ θρόνου ἐδίωκον. Μετὰ δὲ Ἰσαάκιον ἐν ἔτει Χγ ,αρ,ιε' ὁ αὐτάδελφος καὶ τυφλωτὴς—ὢ τῆς ἀπανθρωπίας—Ἰσαακίου ἐπὶ τὸν θρόνον τῆς βασιλείας ἐκάθισεν Ἀλέξιος χρόνους ἐννέα, μῆνας ἕξ· ἐν δὲ τῷ γ' τούτου χρόνῳ ἐν Ἱερουσαλὴμ

ριγ'. *Νικόλαος* Ἱεροσολύμων ἐγένετο ἔτη ιε' καὶ ἐτελεύτησεν· ἀλλ' ὁ Ἱεροσολύμων Ἐφραὶμ οὕτω καταλέγει: μετὰ τὸν *Δοσίθεον*, ὃν προείπομεν, *Ἀθανάσιον*· μεθ' ὃν *Λεόντιον*, μεθ' ὃν *Γρηγόριον*, μεθ' ὃν *Λάζαρον*· ἐν δὲ τοῖς τῶν κανόνων ὕμνοις εὕρομεν μετὰ τὸν Ἰωάννην *Νικόλαον*, μεθ' ὃν πάλιν *Ἰωάννην*. Μετὰ δὲ τὸν Ἀλέξιον Ἀλέξιος ὁ υἱὸς τοῦ ἐκτυφλωθέντος Ἰσαακίου ἐβασίλευσε μῆνας θ' καὶ ἡμέρας κ' μεθ' ὃν Ἀλέξιος Δούκας ὁ Μουρζοῦφλος ἔτη δύο καὶ ἡμέρας κ', ὅτε οἱ Φράγκοι ἔλαβον τὴν Κωνσταντινούπολιν ἐν ἔτει ἀπὸ Ἀδὰμ ,ςχιβ', ἀπὸ δὲ Χγ ,ασδ', ἀπριλίου δωδεκάτῃ, ἡμέρᾳ β'· καὶ ἐβασίλευσαν ἐν αὐτῇ βασιλεῖς τέσσαρες, χρόνους, ὡς μέν τινες λέγουσι, νς', ὡς δὲ ἄλλοι, ξ', μῆνας η', ἡμέρας ιγ'. Οἵτινες ἐκούρσευσαν τὰ ἐν αὐτῇ ἱερά, ἅτινα, ὡς ὄντα καὶ αὐτὰ κειμήλια, κατὰ καιροὺς ἀποστελλόμενα δῶρα τὰ πλείω ἀπὸ τῆς Ἱερουσαλήμ, ἀπαριθμοῦμεν· (ἀπαριθμοῦμεν δὲ) ὀλίγα τινὰ ἐνταῦθα ἀπὸ τοῦ μακαριωτάτου πατρὸς καὶ πατριάρχου τῆς Ἱερουσαλὴμ Δοσιθέου: Τίμιον ξύλον τὸ ἀπὸ τῆς Ἱερουσαλὴμ κομισθὲν παρὰ τῆς ἁγίας Ἑλένης· ὄζος ἢ ῥόζος τοῦ τιμίου ξύλου, ὅπερ ὁ Ἡράκλειος ὁ βασιλεὺς εἰς Κωνσταντίνου ἔφερεν, ἐξ οὗ ἔρρει χυμός τις εὐωδέστατος θεραπεύων παν εἶδος ἀρρωστίας, οἱ ἧλοι, ὁ ἀκάνθινος στέφανος, τὸ πορφυροῦν ἱμάτιον, τὰ σανδάλια τοῦ Σωτῆρος, ἡ λόγχη, ὁ σπόγγος, ὁ κάλαμος, τὰ σπάργανα τοῦ Χριστοῦ, ἡ σινδών, τὸ λεντίον· ἄρτος, ἐξ οὗ ὁ Χριστὸς τοῖς ἀποστόλοις ἐν τῷ δείπνῳ τῷ μυστικῷ διένειμεν (ὃς ἄρτος ἦν περιεχόμενος ἐν σκεύει χρυσῷ μαργαρολιθοκολλήτῳ, ἔχοντι ἐπιγραφὴν ἑλληνιστί "ἐνθάδε κεῖται ὁ θεῖος ἄρτος, ὃν ὁ Χριστὸς τοῖς μαθηταῖς ἐν τῇ ὥρᾳ τοῦ δεί-

πνου διένειμεν εἰπών: λάβετε, φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου"· ὃς ἄρτος ἔνζυμος ἦν)· κιβώριον μικρὸν μὲ ἐπιγραφήν: ἔχει με Χριστὸν αἷμα σαρκός μου φέρον· ὅπερ κεῖται ἐν τῷ σκευοφυλακείῳ τοῦ ἁγίου Μάρκου· τοῦτο τινὲς θέλουσιν εἶναι ἀπὸ τοῦ ῥεύσαντος ἐν τῷ σταυρῷ ἐκ τῆς ἀχράντου πλευρᾶς, ἄλλοι δὲ ἀπὸ τῆς ἐν Κωνσταντίνου εἰκόνος τοῦ Σωτῆρος, τῆς ὑπὸ τοῦ Ἑβραίου τρωθείσης, καὶ ἄλλοι ἀπὸ τῆς ἐν Βηρυτῷ ὑπὸ τῶν Ἑβραίων· ἐκτίσθη δὲ ἡ τοῦ ἁγίου Μάρκου ἐκκλησία ἐν Βενετίᾳ (ἥτις ἐγένετο πόλις ἐν ἔτει Χγ υκαʹ ὑπὸ τοῦ Ῥεάλτου) ἐν τῷ ὀκτακοσιοστῷ, τὸ δὲ ἅγιον αὐτοῦ λείψανον ἐκλάπη παρ' αὐτῶν τῶν Βενετίκων ἀπὸ τῆς Ἀλεξανδρείας καὶ ἐκομίσθη εἰς Βενετίαν τῇ λʹ ἰανουαρίου· τοῦτο δὲ κατὰ παρέκβασιν. Ὁ λίθος τῆς Ἀποκαθηλώσεως, ὃν εἰς Ἔφεσον Μαρία ἡ Μαγδαληνὴ μετήνεγκεν· ἡ πρὸς Αὔγαρον ἐπιστολὴ τοῦ Σωτῆρος· ἀγγεῖον μύρου, δι' οὗ ἠλείψατο ὁ Χριστός· τὸ στόμιον τοῦ φρέατος, ἐν ᾧ ἐκάθισεν ὁ δεσπότης διαλεγόμενος τῇ Σαμαρείτιδι· οἱ δώδεκα κόφινοι καὶ αἱ ἑπτὰ σπυρίδες, ἔνθα ἐτέθησαν τὰ περισσεύματα εἰς τὴν ἀρτοκλασίαν τοῦ Κυρίου (οἵτινες ἐθησαυρίσθησαν ὑποκάτω τοῦ πορφυροῦ κίονος τοῦ ἐν τῷ πλακωτῷ τοῦ Φόρου) ὁ κέραμος ὁ ἔχων τὸ ἀχειροποίητον ἐκτύπωμα τοῦ Κυρίου, ὁ χιτὼν τοῦ Χριστοῦ ὁ ἄνωθεν ὑφαντὸς καὶ τὰ προσκυνητὰ αὐτοῦ ἱμάτια· κιβώτιον ἐν τῇ πόλει Τιφλίζ τῶν Ἰβήρων κεκαλλωπισμένον, περιέχον ἕνα ἧλον τοῦ σταυροῦ, καὶ ἕτερον χρυσοῦν, περιέχον μέρος τοῦ ζωοποιοῦ αἵματος τοῦ Σωτῆρος, καὶ μέρος σχοινίου, μεθ' οὗ ἔδεσαν τὸν λυτρωτήν· ἔτι δὲ καὶ ἄλλο κιβώτιον, ἔχον μέρος τοῦ σαββάνου καὶ τῶν τριχῶν τοῦ δεσπότου. Πρὸς δὲ πάλιν ἐν Κωνσταντίνου ἀπεκομίσθησαν ἐξ Ἱερουσαλὴμ τὸ μαφόριον, ἡ ἐσθὴς καὶ ἡ ζώνη τῆς Θεοτόκου· ἡ εἰκὼν τῆς αὐτῆς, ἣν ἱστόρησεν ὁ εὐαγγελιστὴς Λουκᾶς καὶ ἀπέστειλεν ἐξ Ἱερουσαλὴμ τῇ Πουλχερίᾳ ἡ βασιλὶς Εὐδοκία· τὰ ἅγια λείψανα τῶν θεοκηρύκων ἀποστόλων καὶ τῶν ἁγίων νηπίων καὶ τοῦ Συμεὼν τοῦ θεοδόχου καὶ τοῦ προφήτου Ζαχαρίου καὶ τοῦ ἀδελφοθέου Ἰακώβου καὶ τῶν σεπτῶν μυροφόρων καὶ τοῦ ἁγίου Λαζάρου καὶ τῆς ἀδελφῆς αὐτοῦ Μα-

ρίας καὶ τοῦ ἡγιασμένου πατρὸς ἡμῶν Σάββα, ὅπερ κατὰ τὴν Βενετίαν εὑρίσκεται· τοῦ τιμίου Προδρόμου τρίχες καὶ μέρος ἱματίου καὶ βόστρυς πεπιλημένος αἵματι, καὶ ὅλκὸς τοῦ τιμίου αὐτοῦ σώματος καὶ αἵματος, ἡ τοῦ Μωυσέως ῥάβδος· τὸ κέρας τοῦ ἐλαίου, δι' οὗ ὁ Σαμουὴλ τοὺς βασιλεῖς ἔχριεν· αἱ σάλπιγγες τοῦ Ἰησοῦ τοῦ Ναυῆ, δι' ὧν κατέπεσον τὰ τείχη Ἰεριχώ· ἡ ἀξίνη, δι' ἧς ὁ Νῶε τὴν κιβωτὸν κατεσκεύασε, καὶ οἱ δύο σταυροὶ τῶν λῃστῶν ὑποκάτω τοῦ πορφυροῦ κίονος τοῦ ἐν τῷ Φόρῳ. Περὶ τούτων καὶ ἄλλων πλειόνων εὑρήσεις καὶ ἐν τῷ παρόντι καὶ ἐν ἄλλοις σποράδην. Ἐν δὲ τῷ ασγ' Χγ ἔτει μετὰ τὸν Μουρζοῦφλον αὐτοκράτωρ ἀναγορεύεται ἐν Νικαίᾳ τῆς Βιθυνίας Θεόδωρος ὁ Λάσκαρις ἔτη ιη'· ἐν δὲ τῷ ζ' ἔτει τῆς βασιλείας αὐτοῦ ἐγένετο μετὰ τὸν Νικόλαον Ἱεροσολύμων

ϡε'. *Ἰωάννης* ἔτη ἐννέα καὶ ἀπέδωκε τὸ χρεών· μεθ' ὃν ἐπατριάρχευσεν

ϡς'. *Ἐφραὶμ* ἔτη ιζ' καὶ ἐπορεύθη εἰς τὴν ἐπουράνιον Ἱερουσαλήμ. Μετὰ δὲ τὸν Θεόδωρον ἐβασίλευσεν ὁ γαμβρὸς αὐτοῦ Ἰωάννης ὁ Δούξ, ὁ καὶ Βατάτζης, ἔτη λγ· ἐν δὲ τῷ ις' ἔτει τοῦ κράτους αὐτοῦ πατριάρχης ἐπὶ τοῦ θρόνου τῆς Ἱερουσαλὴμ ἔστη

ϡζ'. *Ἰσόντιος*, ἀνὴρ σοφώτατος Λακεδαιμόνιος, ἔτη τέσσαρα καὶ ἐκοιμήθη· εἶτα

ϡη'. *Συμεὼν* ἔτη κγ' καὶ ἀνεπαύθη ἐν Κυρίῳ. Μετὰ δὲ τὸν Βατάτζην ὁ υἱὸς αὐτοῦ ἐβασίλευσε Θεόδωρος ὁ νέος Λάσκαρις ἔτη τέσσαρα, μεθ' ὃν Μιχαὴλ ὁ Παλαιολόγος ἔτη κδ'· ἐν δὲ τῷ ς' ἔτει τῆς βασιλείας αὐτοῦ ἐπανέλαβον οἱ Ῥωμαῖοι τὴν Κωνσταντινούπολιν ἀπὸ τῶν Φράγκων. Ἐν δὲ τῷ ασπγ' ἔτει Χγ μετὰ τὸν Μιχαὴλ ἐβασίλευσεν ὁ υἱὸς αὐτοῦ Ἀνδρόνικος χρόνους πεντήκοντα· ἐν δὲ τῷ β' ἔτει τῆς βασιλείας αὐτοῦ μετὰ τὸν Συμεὼν ἐπήρθη εἰς τὸν θρόνον τῆς Ἱερουσαλὴμ ὁ θεῖος

ϡθ'. *Νικηφόρος* ἔτη κ', ἐν δὲ τῷ κδ' ἔτει τῆς αὐταρχίας Ἀνδρονίκου

ρ'. *Σάβας* μετὰ τὴν τελευτὴν Νικηφόρου πατριάρχης τῆς

Ἱερουσαλὴμ προέστη, ὁ ἀπὸ Καισαρείας τῆς Παλαιστίνης, ὅστις καλῶς τὸ τοῦ Χριστοῦ ποιμάνας λογικὸν ποίμνιον ἔτη ιδ' μακαρίως ἀνεπαύσατο. Ἐν δὲ τῷ λη' ἔτει τῆς τοῦ Ἀνδρονίκου (βασιλείας) ὁ μακαριώτατος τῆς Ἱερουσαλὴμ πατριάρχης

ρά'. *Λεόντιος* ἐκοσμήθη καὶ τὸν θρόνον ταῖς ἀρεταῖς ἐκόσμησε καὶ εἰς τὰ οὐράνια μετέστη, καὶ ἀντ' αὐτοῦ ἐν τῷ τεσσαρακοστῷ ὀγδόῳ ἔτει τῆς βασιλείας Ἀνδρονίκου οἱ μὲν λέγουσι πατριάρχην τῆς Ἱερουσαλὴμ γεγονέναι *Ἱερεμίαν*, οἱ δὲ τὸν προειρημένον Λεόντιον μετὰ Νικηφόρον· ἀλλ' ὁ βασιλεὺς Καντακουζηνὸς Ἰωάννης διηγεῖται, ὅτι ἐν τῷ ,ατλβ' ἔτει Χγ μετὰ τὸν Ἀνδρόνικον ὁ ἐγγονὸς μὲν Ἀνδρονίκου, υἱὸς δὲ Μιχαήλ, Ἀνδρόνικος δὲ καὶ αὐτὸς καλούμενος ἐβασίλευσεν ὁ Παλαιολόγος ἔτη θ'· καὶ ἐν τῷ ,ατμβ' ἔτει Χγ αὐτὸς οὗτος ὁ Ἰωάννης ὁ Καντακουζηνὸς ἐβασίλευσε. χρισθεὶς τῷ ἁγίῳ μύρῳ καὶ στεφθεὶς παρὰ Λαζάρου πατριάρχου τῆς Ἱερουσαλήμ. Ὅθεν μοι δοκεῖ ἀξιοπιστότερον εἶναι τὸν βασιλέα λέγοντα, ὅτι

ρζ'. *Λάζαρος* ἔτι ζῶντος Ἀνδρονίκου ὑπὸ τῶν συνεπισκόπων ἐν τῇ Ἁγίᾳ Πόλει κεχειροτονημένος, ὥσπερ ἔθος, εἰς Βυζάντιον ἔπειτα παρεγένετο προβληθησόμενος καὶ παρὰ (τοῦ) βασιλέως· ἐν δὲ τῷ μεταξὺ χρόνῳ τοῦ βασιλέως ἀποθανόντος ὁ Λάζαρος ἐν Ἀδριανοῦ τὸν Καντακουζηνὸν Ἰωάννην εἰς βασιλέα ἔστεψεν. Ὅθεν οἱ τοῦ Καντακουζηνοῦ ἐχθροὶ ἐμίσουν καὶ τὸν φίλον αὐτῷ Λάζαρον. Συνέβη δὲ τότε καὶ *Γεράσιμός* τις μετὰ καὶ ἄλλων τινῶν καὶ ἀπῆλθεν ἐς Ἱερουσαλὴμ εἰς Κωνσταντίνου κατηγορῆσαι τὸν πατριάρχην πρός συκοφαντίαν τινά· δι' ὃ εὑρόντες ἀφορμὴν οἱ τὸν Λάζαρον μισοῦντες, οἵτινες ἦσαν οἱ πολέμιοι τοῦ Καντακουζηνοῦ, οἱ περὶ τὸν Κωνσταντινουπόλεως πατριάρχην Ἰωάννην, κατέκριναν μὲν τὸν Λάζαρον, ἐχειροτόνησαν δὲ τὸν κατήγορον Γεράσιμον παρανόμως ἐπίσκοπον τῆς Ἁγίας Πόλεως· ὁ δὲ Λάζαρος διαβὰς εἰς Γαλατᾶν, τὸ Λατίνων φρούριον, ἐζήτει τρόπον καθ' ὃν νὰ ἀπέλθῃ εἰς Καντακουζηνόν· οἱ δὲ ἐν Βυζαντίῳ ἄρχοντες καὶ ὁ Κωνσταντινουπόλεως ἔπεμψαν ἐκεῖσε ζητοῦντες τὸν πατριάρχην. Ὅθεν οἱ Λατῖνοι εἶπον αὐτῷ νὰ διαλέξῃ ἓν ἐκ τῶν

δύο, ἢ νὰ κοινωνήσῃ αὐτοῖς εἰς τὰ δόγματα καὶ νὰ ἀπολαύῃ πολλῶν εὐποιιῶν παρ' αὐτοῖς καὶ μεγάλων εὐεργεσιῶν καὶ παρὰ τοῦ πάπα, ἢ νὰ τὸν παραδώσωσιν εἰς τοὺς ζητοῦντας, νὰ πάθῃ τὰ πάνδεινα θλιβερά. Ἀλλ' ὁ Λάζαρος κατεγέλα τῆς ἐκείνων ἀνοίας· ἐφ' ᾧ καὶ δεδεμένον ἐξέδωκαν εἰς τοὺς ζητοῦντας. Ὁ γοῦν Κωνσταντινουπόλεως εὐλαβήθη τὴν ἀρετὴν τοῦ ἀνδρός, ἀκούσας τὰ κατ' αὐτόν, καὶ ἐκάλει ὁμολογητὴν καθίσας αὐτὸν πλησίον του, καὶ ἡμέρου ὁμιλίας ἠξίωσεν. Ἀλλ' ὁ Καντακουζηνὸς ἐγκρατὴς τῆς Κωνσταντίνου γενόμενος πολλὴν ἐδείκνυε πρόνοιαν εἰς τὸν Λάζαρον, καὶ μετὰ Σεργοπούλου Μανουὴλ τοῦ Βυζαντίου πρεσβευτὴν πρὸς τὸν Αἰγύπτου καὶ Ἰουδαίας καὶ Συρίας (σουλτάνον) ἀπέστειλεν ὑπὲρ τῶν ἐκεῖσε χριστιανῶν καὶ ὑπὲρ αὐτοῦ τοῦτον παρακαλῶν ἦν, ἵνα τὸν μὲν Λάζαρον ἀποκαταστήσῃ εἰς τὸν θρόνον τῆς Ἱερουσαλήμ, τὸν δὲ Γεράσιμον διώξῃ. Τούτων οὖν πάντων τελεσθέντων πρὸς τοῦ σουλτάνου κατὰ τὴν τοῦ βασιλέως ἀξίωσιν, ὁ Γεράσιμος ἀπήρχετο εἰς τὸν σουλτάνον ἀπὸ τῆς Ἱερουσαλὴμ καταψεύσασθαι τοῦ πατριάρχου· ἀλλὰ μετὰ τρίτην ἡμέραν τῆς ἐλεύσεώς του, τοῦ Θεοῦ δικάσαντος ἀπέθανεν ὁ Γεράσιμος. Ἀποθανόντος δ' ἔπειτα καὶ τοῦ σουλτάνου κατέστη ἕτερος, ὑπ' οὐδεμιᾶς αἰτίας διωγμὸν κατὰ χριστιανῶν κινήσας, παρακινούμενος εἰς τοῦτο ὑπὸ τοῦ μεγάλου ἐχθροῦ τῶν χριστιανῶν Σειχοῦν, ἀρχισατράπου αὐτοῦ, πλὴν τῶν Κοπτῶν· τούτους γὰρ ἐφοβεῖτο, ἵνα μὴ μετοχετεύσωσι τὸν Νεῖλον ἄλλοσε. Ἐν γοῦν τούτῳ τῷ διωγμῷ πολλοὶ μὲν τῶν χριστιανῶν ὑπὲρ Χριστοῦ ἐμαρτύρησαν, πολλοὶ δὲ καὶ ἀπὸ τῆς πίστεως ἀπέστησαν, ὅσοι συνηκολούθουν τῷ πονηρῷ διὰ τῆς τῶν ἔργων φαυλότητος· οὐ γάρ ἐστιν, οὐκ ἔστιν, ἵνα τις τὴν ἀμώμητον τοῦ Κυρίου ἡμῶν πίστιν ἀρνήσηται, ὃς μετὰ τῆς πίστεως καὶ τὰ ἔργα ἐργάζεται τῆς πίστεως. Συνέλαβον λοιπὸν οἱ διῶκται καὶ τὸν πατριάρχην Λάζαρον, καὶ πρῶτον μὲν μὲ κολακείας, εἶτα δὲ καὶ μὲ τὴν σύντροφον αὐτοῦ ὠμότητα ἐδοκίμαζεν ὁ Σειχοῦν νὰ διαστρέψῃ τὸν ἀκράδαντον τῆς πίστεως στύλον Λάζαρον· ὡς δὲ εὗρεν αὐτὸν ὅλως μὴ πειθόμενον, κατέκρινεν εἰς θάνατον· ἀλλ' ὁ σουλτάνος οὐκ ἀφῆκεν, ἀλλὰ (κατὰ)

τρόπον ἕτερον ἔλεγε "παίδευσον τὴν αὐτοῦ ἀπείθειαν". Ὅθεν ὁ Σειχοῦν μὲ βούνευρα γυμνῶν τῶν σαρκῶν (οὐσῶν) ἐμαστίγωσε πληγὰς πεντακοσίας, ὁ δὲ τοῦ Χριστοῦ ἀθλητὴς τὸν νοῦν ἔχων εἰς τὸν ποθούμενον Χριστὸν ὑπέμενε καρτερικῶς· ὁ δὲ Σειχοῦν καὶ ἔτι μᾶλλον ἐξαπτόμενος τοῖς θυμοῖς καὶ ἄλλας τοσαύτας τῷ πατριάρχῃ πληγὰς ἐνετεινεν. Ἐκοκκίνιζε λοιπὸν τὸ ἔδαφος μὲ τὰ αἵματα τὰ πατριαρχικά· αἱ σάρκες αὐτοῦ διελύοντο· τὰ νεῦρα καὶ τὰ ὀστᾶ γυμνὰ σαρκῶν κατελιμπάνοντο, καὶ αὐτὸς εἰς φυλακὴν κατερρίπτετο διὰ νὰ σφαγῇ. Ἀλλ' ὁ Σειχοῦν ἐντὸς ὀλίγου τὴν ψυχὴν αὐτοῦ τῷ πατρὶ αὐτοῦ ἀπέρριψε βιαίως, καὶ ὁ πατριάρχης τῆς φυλακῆς ἠλευθεροῦτο καὶ εἰς τὸν θρόνον αὐτοῦ (ἦν) ἐπιστρέψας (ὁ γὰρ διωγμὸς τῇ τοῦ Σειχοῦν ἐκλείψει συγκατέληξε), καὶ τοῦτον οὐκ ὀλίγον χρόνον διεθύνας, καὶ πρεσβευτὴς ὑπὸ τοῦ σουλτάνου εἰς Ἰωάννην τὸν Παλαιολόγον πεμφθεὶς καὶ εἰς Ἱερουσαλὴμ ἐπανελθὼν ἀνεπαύσατο ἐν εἰρήνῃ. Ἐπὶ τούτου τοῦ Καντακουζηνοῦ τινὲς φράροι Φραντζεσκάνοι εἰς τὴν Ἱερουσαλὴμ ἦλθον, καὶ τῇ αὐτῶν συνήθει δολιότητι ἔλαβον εἰς κατοίκησιν τῆς ἁγίας Σιὼν τὸ μοναστήριον παρὰ τοῦ πατριάρχου, καὶ ὕστερον παρὰ τῶν Ἰβήρων τὸ τοῦ θεολόγου Ἰωάννου ἔνδον τῆς Ἱερουσαλήμ, διδόντες αὐτοῖς καθ' ἕκαστον χρόνον φλωρία ἑκατὸν ἐνοίκιον. Ἐβασίλευσε δὲ ὁ Ἰωάννης ὁ Καντακουζηνὸς ἔτη ἓξ καὶ μῆνας ἑπτά, μεθ' ὃν ὁ Παλαιολόγος Ἰωάννης ὁ καὶ Καλοϊωάννης, ὁ τοῦ τρίτου Ἀνδρονίκου υἱός, ἐν ἔτει Χγ ,ατνη'. Μετὰ δὲ τὸν Λάζαρον πατριαρχεύσαντα ἔτη λβ' Ἱεροσολύμων

ργ'. *Μᾶρκος* ἐγένετο ἔτη ιδ' [1], μεθ' ὃν ἀνέβη τὴν ἀποστολικὴν καθέδραν

ρδ'. *Εὐθύμιος*. Περὶ τούτου εὕρομεν ἐν τοῖς δύο ὑμνολογιτικοῖς τῶν τῆς Ἱερουσαλὴμ πατριαρχῶν κανόσι τροπάριον πρὸς τὸ "Ἑπταπλασίως κάμε" (ἔχον οὕτω)· "Μετὰ τῶν ἄνω τάξεων λειτουργεῖν ἠξιώθητε, ἔνδοξοι ποιμένες, ἱερὲ Λεόντιε καὶ Μᾶρκε

[1] Ἄλλοθι δὲ εὕρομεν οὕτω· μετὰ τὸν Λάζαρον Σωφρόνιος, μεθ' ὃν Δωρόθεος, μεθ' ὃν Θεόφιλος ἐπὶ Μανουὴλ καὶ Ἰωάννου τῶν Παλαιολόγων· μεθ' ὃν Θεοφάνης, μεθ' ὃν Ἰωακεὶμ ἐπὶ τῆς ἐν Φλωρεντίᾳ συνόδου ἐν ἔτει Χγ ,αυλη'.

μακάριε σὺν Εὐθυμίῳ τῷ εὐκλεεῖ, τῷ χρηματισθέντι δι' ἀγγέλου ἁγίου πρὸς τὸ Σινᾶ γενέσθαι καὶ κἀκεῖ τελειῶσαι τὸν τῆς ἱεραρχίας ἠγλαϊσμένον ὁρόμον". Πόθεν ὅμως ὁ ποιητὴς τούτου ἔλαβε ταύτην τὴν διήγησιν, οὐκ ἠδυνήθην εὑρεῖν ἐν οὐδενὶ τῶν τυχόντων μοι ἱστορικῶν· ὅθεν φαίνεται νὰ εὑρίσκεται ἴσως ἐν τοῖς ἀραβικοῖς. Οὗτος οὖν ὁ θεῖος Εὐθύμιος πατριαρχεύσας ἔτη ιθ' ἀπῆλθε πρὸς Κύριον. Μετὰ δὲ τὸν Καλοϊωάννην ὁ υἱὸς αὐτοῦ [1] ἐβασίλευσε Μανουὴλ ὁ Παλαιολόγος ἔτη λβ' ἐν ἔτει Χγ ,απδ'· μετὰ δὲ Εὐθύμιον τὸν τρισόλβιον ἱεράρχης τῆς Ἱερουσαλὴμ ἐχρημάτισεν

ρε'. *Ἀθανάσιος* ἔτη κβ', ἀνὴρ ἀρετῇ καὶ σοφίᾳ κεκοσμημένος, συντάξας ἀραβιστὶ ὁμιλίας ψυχωφελεῖς κατὰ πᾶσαν Κυριακὴν καὶ ἑορτήν, τοῖς εὐσεβέσιν ἀναγινωσκομένας. Καὶ περὶ τούτου αὐτόθι πρὸς τὸ "Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανὸς" (κεῖται τροπάριον ἔχον ὧδε) [2]· "Ἐξέλαμψας ὡς ἥλιος ἐν Σιὼν ἐκ δυσμῶν προελθών, Ἀθανάσιε, μοναδικῶς πρότερον τὰ πάθη τὰ τῆς σαρκὸς καθυποτάξας πνεύματι καὶ τὰς τῶν ὀρέξεων προσβολὰς νεκρώσας ἐγκρατείᾳ· μαρτυρικὸν δὲ τέλος ὑπὸ βαρβάρων τυχὼν ἔδυνας". Οὗτος οὖν ἱεραρχήσας χριστομιμήτως ἔτη κβ', ὡς εἴρηται, ἀπῆλθε πρὸς ὃν ἐπόθει Χριστόν. Μετὰ δὲ τοῦτον ἐν τῇ αὐτῇ ἐνάτῃ ᾠδῇ φέρει ὁ Νεῖλος οὐχὶ *Ἰωακείμ*, ὡς ἄλλοι, ἀλλ' ἐκθειάζει *Σωφρόνιον*, πρὸς ὃν ᾄδει· "Νομὴν ἀθεωτάτων Ἀγαρηνῶν ἀναστέλλων ἐβλήθης, Σωφρόνιε, ἐν τῇ εἱρκτῇ· ἐν ᾗ τετελείωσαι εὐσεβῶς· ὅθεν καὶ μετὰ πότμον σὲ ἄνωθεν δοξάζει ὁ ποιητής· τὸ φῶς γὰρ καταπέμψας ἐπάνω σου τῆς θήκης μεγαλοδώρως σε ἐδόξασεν". Ἂν λοιπόν τις που εὕρῃ τὸν βίον του, παρακαλῶ ἵνα συνείρῃ καὶ τοῦτον ἐνταῦθα. Μετὰ δὲ τὸν Μανουὴλ ὁ υἱὸς αὐτοῦ Ἰωάννης ἐβασίλευσεν ἔτη κγ', μῆνας τρεῖς, ἐν ἔτει Χγ ,αυκε'· καὶ μετὰ τὸν παναγιώτατον Ἀθανάσιον ὑψώθη ἐπὶ τὸν τοῦ θεαδέλφου θρόνον

ρς'. *Ἰωακείμ* ἔτη μ'· ἐφ' οὗ ἐγένετο ἡ ἐν Φλωρεντίᾳ σύνο-

[1] Τινὲς φασιν αὐτὸν εἶναι ὁμαίμονα τῷ Καλοϊωάννῃ.

[2] Ὁ ποιητὴς τούτων τῶν δύο ὑμνολογητικῶν κανόνων ὀνομάζεται Νεῖλος, ὡς φέρεται ἐν τῇ ἀκροστιχίδι.

δος ἐν ἔτει ,αυλη'· ἐν δὲ τῷ ,αυν' ἐτελεύτησεν ὁ Ἰωάννης καὶ ἐβασιλευσεν ὁ ἀδελφὸς αὐτοῦ Κωνσταντῖνος ἔτη δ'. Ἡ βασιλεύουσα τῆς πόλεως Κωνσταντίνου τοῖς Τούρκοις ὑποχείριος γίνεται· ἐν γὰρ τῷ ,αυνγ' ὁ Κωνσταντῖνος ὁ Παλαιολόγος ἔπεσεν ἐπὶ τῆς μάχης μαΐου κθ', τῇ α' ἑβδομάδι τῆς τῶν Ἀποστόλων νηστείας, ἐν ὥρᾳ τῆς ἡμέρας τρίτῃ σὺν ἡμίσει· ἐκπορθήσας αὐτὴν—θρήνων ἄξιον τοῖς χριστιανοῖς — ὁ Τούρκων αὐτάρχης, ὁ δεύτερος Μωάμεθ, ἐχειρώσατο. Τοῦ δὲ πατριάρχου Ἰωακεὶμ τελευτήσαντος ἀνέστη ἐπὶ τοῦ θρόνου

ρζ'. *Γρηγόριος*, ὃς ἀπελθὼν ἀπὸ τῆς Ἱερουσαλὴμ πρὸς τοῦτον τὸν φετίχην Μωάμεθ ἔλαβεν ἐξ αὐτοῦ χρυσόβουλλον ἐν ἔτει τῆς φυγῆς 861, βεβαιωτικὸν τοῦ τε ἀχτιναμὲ τοῦ Ὄμερ Χατὰπ καὶ τῶν λοιπῶν ὁρισμῶν, οὓς κατὰ καιροὺς οἱ τῶν Ἀράβων σουλτάνοι ἔδωκαν τοῖς ἐν Ἱερουσαλὴμ πατριάρχαις περὶ τῶν χριστιανῶν, ἐκκλησιῶν καὶ προσκυνημάτων· καὶ ἀρχιερατεύσας θεαρέστως ἔτη λδ' ἀπῆλθεν εἰς τὰς αἰωνίους μονάς. Ὁ δὲ σουλτάνος Μωάμεθ βασιλεύσας ἔτη λβ' ἢ κη' ἐξέλιπε· μεθ' ὃν ὁ υἱὸς αὐτοῦ σουλτὰν Μπαγιαζίτης ἔτη λα' ἐν ἔτει Χγ ,αυπν'. Μετὰ δὲ τὸν Γρηγόριον ἐγένετο ἐν τῇ ἁγία πόλει Ἱερουσαλὴμ πατριάρχης

ρη'. *Ἀτάλλας ἢ Δωρόθεος* ἔτη μγ'· ἐν δὲ τῷ ,αφιδ' Χγ ἔτει μετὰ τὸν Μπαγιαζίτην ὁ Σελήμης ὁ υἱὸς αὐτοῦ σουλτάνος ἐγένετο ἔτη θ'. Οὗτος ὑπέταξε τὸ Χαλέπι Δαμασκὸν καὶ αὐτὴν τὴν Ἱερουσαλήμ, ἐν ᾗ γενόμενος ἐξῆλθε πρὸς αὐτὸν ὁ μακαριώτατος Δωρόθεος καὶ ὑπεδέξατο μετὰ προσηκόντων δώρων· ὅστις καὶ ὁμιλίας αὐτὸν ἠξίωσε καὶ χατ-σερίφιον ἐχάρισε, βεβαιῶν αὐτῷ καὶ αὐτὸς κατὰ τὸν πάππον του σουλτάνον φετίχην Μωάμεθ ἔχειν εἰς τὴν ἐξουσίαν του καὶ διευθεντεύειν καὶ χριστιανοὺς καὶ πάντα τὰ προσκυνήματα, μοναστήριά τε καὶ ἐκκλησίας. Ἀπὸ δὲ τῆς Ἱερουσαλὴμ ἀπάρας ἐπορεύθη εἰς Αἴγυπτον, καὶ πολεμήσας καρτερῶς τὸν κρατοῦντα αὐτῆς σουλτάνον, αὐτὸν μὲν κατὰ κράτος ἐνίκησε, τῆς δὲ Αἰγύπτου καὶ αὐτῆς ἐγκρατὴς ἐχρημάτισε· καὶ ἐν Κωνσταντινουπόλει γενόμενος ἐξ ἀνθρώπων ἐγένετο· μεθ' ὃν ὁ υἱὸς αὐτοῦ τὸ κράτος τῆς ἐξουσίας ὑπεζώσθη, ὁ κανὼν-σουλτὰν Σου-

*

λεϊμάν, ἔτη μη' ἢ μς', ἐν τῷ ,αφκ' Χγ ἔτει· ὃς καὶ αὐτὸς χρυσόβουλλον ἔδωκε τῷ μακαρίῳ πατριάρχῃ Δωροθέῳ ἢ Ἀτάλλα, ὡς καὶ ὁ πατὴρ αὐτοῦ, ἐπικυρῶν ὅπως ἔχῃ ὁ πατριάρχης τὰ ἐντὸς καὶ ἐκτὸς τῆς Ἱερουσαλὴμ προσκυνήματα καὶ αὐτὴν τὴν ἁγίαν Σιών. Ἰστέον, κατὰ τὸν ἀείμνηστον Δοσίθεον, ὅτι οἱ τῆς Τραπεζοῦντος βασιλεῖς τὸν δυνατὸν τρόπον ἐπεσκέπτοντο καὶ αὐτοὶ τὴν Ἁγίαν Πόλιν οἱ φιλόχριστοι· καὶ αἱ δέσποιναι αὐτῶν αἱ εὐσεβέστατοι εἰς προσκύνησιν αὐτῆς μετὰ πολλῆς ἀπήρχοντο εὐλαβείας, τὸ ἔνδον τῆς Ἱερουσαλὴμ μοναστήριον τοῦ ἁγίου Εὐθυμίου ἔχουσαι καταγώγιον· ὅπερ πάλαι ἀνεκαίνισεν ἡ δέσποινα κυρία Ἄννα Τραπεζουντία ἡ πορφυρογέννητος. Ὁμοίως δὲ καὶ οἱ βασιλεῖς τῶν Ἰβήρων βοηθοὶ καὶ διαυθενταὶ τῶν τε μοναστηρίων καὶ προσκυνημάτων ἐφάνησαν ἀξιόχρεω οἱ τρισμάκαρες ἐπὶ τῶν σουλτάνων τῆς Αἰγύπτου, οἵτινες ἐκυρίευσαν (αὐτὴν) ἀπὸ τοῦ Σαλαδίνου, ἕως οὗ ἔλαβεν αὐτὴν ὁ σουλτὰν Σελὴμ χρόνους τλ', ὄντες οὗτοι Τζερκέζοι, Ἀβαζγοὶ καὶ Ἴβηρες. Καὶ εἰς τὰς ἡμέρας δὲ αὐτῶν δῆλον, ὅτι τὰ προσκυνήματα εἰς χεῖρας ἦσαν τῶν ὀρθοδόξων· οἱ γὰρ Φράγκοι Φραγκεσκάνοι εἴρηται πότε καὶ ὅπως ἐλθόντες εἶχον· ἔλαβον δὲ ἀπὸ τῶν πατριαρχῶν καὶ ἐν Βηθλεὲμ ἕνα οἰκίσκον, καθὰ καὶ οἱ Ἀρμένιοι, (οἵτινες) ὕστερον τῶν Φράγκων εἰς Ἱερουσαλὴμ ἐπῆλθον, καὶ ἔλαβον καὶ αὐτοὶ παρὰ τῶν πατριαρχῶν ἔξω τῆς Ἱερουσαλήμ, κατὰ τὴν ἁγίαν Σιών, τὸ παλάτιον τοῦ Καϊάφα, ἔνθα ὁ Πέτρος τὸν δεσπότην ἠρνήσατο, καὶ ἕνα οἰκίσκον ἐν Βηθλεέμ. Ἀλλ' ἐπὶ τούτου τοῦ σουλτὰν Σουλεϊμὰν-Κανὼν τὴν ἁγίαν Σιών, ἤτοι τὸ μοναστήριον, ἐστερήθησαν οἱ Φράγκοι οὕτως. Ἰουδαῖός τις τῷ τῆς Ἱερουσαλὴμ ἡγεμόνι συνήθης ἐπορεύθη εἰς Σιὼν προσκυνῆσαι ἐν τοῖς λεγομένοις μνήμασι Δαβὶδ καὶ Σολομῶντος, καὶ ἀποδιωχθεὶς ὑπὸ τῶν Φρατόρων καὶ δεινοπαθήσας πρὸς τὸν ἡγεμόνα ἔδραμεν, λέγων "Ἵνα τί ὑμεῖς ἀφίετε τοῖς Φράγκοις ἔχειν Δαβὶδ καὶ Σολομῶντος τὰ μνήματα, καὶ οὐ κυριεύετε καὶ αὐτά, καθὰ καὶ τοῦ Ἀβραὰμ ἐν Χεβρών"; Εἰς ταῦτα ὁ ἡγεμὼν ἐπείσθη· ὑπῆγε μετὰ τῶν γραμματέων καὶ γερόντων τῆς πόλεως ἐκεῖσε· ἐδιώξε τοὺς Φράτορας καὶ ἱμα-

ρέτι τὴν Σιὼν κατέστησεν. Οἱ δὲ Φράγκοι τότε ζητήσαντες ἀπὸ τῶν Ἰβήρων τὴν μονὴν τοῦ Θεολόγου μὲ ἐνοίκιον ρ' φλουρία, χωρὶς τοὺς ἄλλους δασμούς, οἵτινες εἰς δύο χοτζέτια παρίστανται, ἔλαβον διὰ κατοίκησιν· ὁμοίως δὲ τότε καὶ οἱ Ἀρμένιοι κατὰ μίμησιν τῶν Φράγκων ἐκατοίκησαν, καὶ αὐτοὶ μὲ ἐνοίκιον λαβόντες τὴν μονὴν τοῦ ἁγίου Ἰακώβου τοῦ ἀποστόλου, υἱοῦ Ζεβεδαίου, παρ' αὐτῶν τῶν Ἰβήρων, ἐτήσιον φλωρία πεντήκοντα. Ἀλλ' εἰς τὰς ἡμέρας ταύτας ὁ ναὸς τῆς Ἀναστάσεως ἦν μὲν εἰς χεῖρας τῶν ὀρθοδόξων, εἶχε δὲ πολλὰ μέρη αὐτοῦ σεσαθρωμένα καὶ δεόμενα ἀνακτίσεως καὶ ἐπιδιορθώσεως διά τε τὴν παλαιότητα καὶ τὸ περισσότερον διὰ τὴν πτωχείαν τὴν καθ' ὑπερβολήν· οἱ γὰρ πατριάρχαι ὄντες ἐνδεεῖς εἰργάζοντο ταῖς ἰδίαις αὐτῶν χερσὶ διὰ τὸν ἐπιούσιον ἄρτον, μὴ ἔχοντες μηδὲ σκεύη ἱερά, μηδὲ ἱερατικὰ εὐπρεπῆ. Ὅθεν καὶ ὅτε τὰς ἱερὰς ἐλειτούργουν ἀναιμάκτους ἁγιστείας, μὲ πάνινα ἱερὰ καὶ μὲ σιδηροῦν τρικήριον ταύτας ἐπετέλουν· ἐφ' οἷς ὁ τε ναὸς τῆς Ἀναστάσεως, ἥ τε ἁγία Βηθλεὲμ καὶ τὰ μοναστήρια, μὴ ἔχοντες ἀνακαίνισιν ἐκινδύνευον νὰ πέσωσιν. Ἐπὶ τούτου ἔτι τοῦ σουλτὰν Σουλεϊμὰν ἡ Ἱερουσαλὴμ περιετειχίσθη κατηδαφισμένη οὖσα, ὡς εἴρηται, (καὶ) ναὸς μείζων ἡ Σάχρα ἀνῳκοδομήθη· ἀλλ' εἰς ταῦτα ὁ τοῖχος τοῦ μοναστηρίου τοῦ ἐν Ἱερουσαλὴμ εἰς ὄνομα τοῦ τιμίου Προδρόμου ἐχαλάσθη καὶ αἱ πέτραι τούτου εἰς τὸ νεουργηθὲν τῆς Ἱερουσαλὴμ τεῖχος ἐτέθησαν· τὰς ἁγίας πόρτας τοῦ θείου ναοῦ τῆς Ἀναστάσεως διετάγησαν φύλακες νὰ κλείωσι καὶ νὰ βουλλώνωσι, καὶ ἐν καιρῷ χρείας πάλιν νὰ ἀνοίγωσι καὶ νὰ λαμβάνωσιν ἀφ' ἑκάστου ξένου χριστιανοῦ προσκυνητοῦ ἀπὸ μὲν Φράγκου γρόσια ιδ', ἀπὸ δὲ Ῥωμαίου, ἤτοι Ἕλληνος, γρόσια ἑπτά, ἀπὸ δὲ Καραμανλῆ γρόσια πέντε, ἀπὸ Ἄραβος δὲ καὶ Κόπτου γρόσια τρία, ἀπὸ δὲ Χαμπαισίου ἢ Ἴβηρος οὐδὲ ὀβολόν. Ἡ δὲ τοιαύτη τῶν χρημάτων συνάθροισις οὗτος ὁ σουλτάνος διέταξε νὰ ἐξοδεύηται εἰς τὸν Τεκέν, ἤτοι εἰς τὸ Πτωχοτροφεῖον, ὅπερ ἐστὶν ὅπου τὰ Καζάνια τῆς ἁγίας Ἑλένης, κτισθὲν ὑπὸ τῆς παλλακίδος τοῦ αὐτοῦ σουλτάνου. Ἔτι ἰστέον, ὅτι ἀπ' ἀρχῆς τοῦ ἀδελφοθέου Ἰακώβου μέχρι

τούτου τοῦ Ἀτάλλα οἱ πλείονες τῶν πατριαρχῶν ἦσαν Ἱεροσολυμῖται, ἢ τῆς ἐκ τῶν πέριξ τῆς Ἱερουσαλὴμ (χώρας), οἵτινες ἐγίνωσκον καὶ ἑλληνιστὶ καὶ ἀραβιστὶ (λέγειν), ὀλίγιστοι δὲ Ῥωμαῖοι καὶ ξένοι· ἡ δ' αἰτία· οἱ γὰρ Ῥωμαῖοι καὶ Ἄραβες ἔχθραν πρὸς ἀλλήλους ἔχοντες, οἱ μὲν ὅτι ἀπώλεσαν τοὺς τόπους, οἱ δὲ Ἄραβες ὅτι ἥρπασαν αὐτούς, φοβούμενοι ἵνα μὴ τοὺς ἀποστερηθῶσι. οὐ συνεχώρουν νὰ ἔρχωνται εἰς προσκύνησιν τῆς Ἱερουσαλὴμ τὸν πλείονα καιρὸν Ῥωμαῖοι. Ὅθεν διὰ τὴν ἀνεπιμιξίαν οὐδὲ συνέβαινε πατριάρχας ἢ ἐπισκόπους γίνεσθαι Ῥωμαίους· ἀλλὰ τὸ βασίλειον κράτος εἰς ἕνα σουλτάνον περιορισθέν, τὸν τῆς Κωνσταντίνου, αἰτία καθέστηκε τοῦ πάλιν, ὡς καὶ πρότερον, τοὺς Ῥωμαίους, καίτοι τοὺς πλείονας πτωχούς, ἔρχεσθαι μὲ πολλὴν ζέσιν καὶ εὐλάβειαν εἰς προσκύνησιν τῶν θεοβαδίστων τόπων ἀκινδύνως καὶ γίνεσθαι καὶ πατριάρχας ἐν Ἱερουσαλὴμ καὶ ἐπισκόπους καὶ μοναχοὺς Ῥωμαίους. Τούτου χάριν καὶ ὁ ἀπὸ τῆς πόλεως Σοφίας μητροπολίτης ἀναβιβασθεὶς ἐπὶ τὸν τῆς Κωνσταντίνου ὑπέρτατον θρόνον, ὁ Ἰωαννίτης πατριάρχης Ἱερεμίας, θείῳ κινούμενος ἔρωτι παρεγένετο καὶ διὰ προσκύνησιν τῶν σεβασμίων ἐν Ἱερουσαλὴμ προσκυνημάτων καὶ διὰ νὰ ἰδῇ καὶ αὐτοῖς ὀφθαλμοῖς τὸ Ἅγιον Φῶς· συνέβη δὲ τότε κατὰ τὸν αὐτὸν ζῆλον καὶ πόθον νὰ ἔλθωσιν εἰς Ἱερουσαλὴμ καὶ ὁ Ἀλεξανδρείας Ἰωακεὶμ καὶ ὁ Ἀντιοχείας Θεόφιλος· ἦν δὲ παρὼν καὶ ὁ Ἱεροσολύμων Ἀτάλλας, ἦγουν Δωρόθεος. Ὅτε λοιπὸν ἀπήλαυσαν πάντων τῶν ἐφετῶν τῇ ἁγίᾳ αὐτῶν ψυχῇ καὶ πνευματοκινήτῳ καρδίᾳ καὶ ὁ καιρὸς ἤγγιζε τῆς ἐπανόδου εἰς τὰ ἴδια ἑκάστῳ, ἦλθεν εἴδησις τῷ Κωνσταντινουπόλεως, ὅτι τινὲς τῶν μὴ τὸν Κύριον φοβουμένων κατέστησαν εἰς τὸν οἰκουμενικὸν θρόνον τὸν ἀπὸ Σωζουπόλεως Ἰωαννίκιον· οἱ δὲ ἐν Ἱερουσαλὴμ λαχόντες τέσσαρες πατριάρχαι σύνοδον ποιήσαντες μετὰ τῶν τυχόντων αὐτόθι ἁγίων ἀρχιερέων ἀφώρισαν καὶ ἐκάθηραν τὸν Ἰωαννίκιον, ὡς μοιχὸν καὶ παράνομον. Εἶτα ὁ γνήσιος τῆς Κωνσταντίνου ποιμὴν ἀπὸ τῆς Ἱερουσαλὴμ ἐπανακάμψας εἰς τὴν Βασιλεύουσαν ἐδεξιώθη ἐντίμως, ὡς ἔδει, παρά τε τοῦ κλήρου καὶ τῶν ἀρχόντων καὶ τοῦ λαοῦ, ἀνανεωσάμενος αὖθις

τὴν πατριαρχίαν καὶ διὰ τοῦ σουλτὰν Σουλεϊμάν. Ἀφίκετο δὲ εἰς ταύτας τὰς ἡμέρας εἰς Ἱερουσαλὴμ ἀπὸ τῆς Πελοποννήσου καὶ ὁ μακάριος Γερμανός, ὃς ἦν ἀπὸ χωρίου τῆς Τριπολιτζᾶς Ἀράχοβα, καὶ ἐχρημάτισεν ἡγούμενος τῆς ἁγίας λαύρας τοῦ ἡγιασμένου πατρὸς Σάββα, συνασκητεύων Ἰωακεὶμ τῷ ἐν θαύμασι καὶ σοφίᾳ κατηγλαϊσμένῳ· οἵτινες εἶχον συνήθειαν νὰ περιέρχωνται χάριν ἐλεημοσύνης, ὁ μὲν εἰς τὰ κατὰ Παλαιστίνην καὶ Συρίαν μέρη, ὁ δὲ θαυμάσιος Ἰωακεὶμ εἰς τὰ τῆς Αἰγύπτου· καὶ οὕτω διῆγον θεοπρεπῶς ἐν τῇ αὐτῇ σεβασμίᾳ λαύρᾳ ζῶντες τὴν ἐν Χριστῷ κεκρυμμένην ζωήν· οὓς ὁ Κύριος ἀμφοτέρους καὶ ἐπὶ γῆς ἐδόξασε καὶ φωταγωγοὺς τῆς ἐκκλησίας ἀνέδειξε, τὸν μὲν ἐν τῇ τῶν Ἀλεξανδρέων πρῶτον πατριάρχην ἐκ τῶν Ῥωμαίων, τὸν δὲ θεῖον Γερμανὸν ἐν τῇ Ἁγίᾳ Πόλει, πρῶτον καὶ αὐτὸν Ῥωμαῖον· ὁ γὰρ μακαριώτατος Ἱεροσολύμων Δωρόθεος τὸν ὕπνον τῶν ὁσίων κοιμηθεὶς ἐν Κυρίῳ ἀνεπαύσατο· μεθ' ὃν ἀνέβη ἐπὶ τὸν θρόνον κανονικῶς ὁ

ρθ'. *Γερμανὸς* ἐν ἔτει ἀπὸ Ἀδὰμ ,ζπς', διατρίβων ὡς ἐπὶ τὸ πλεῖστον πέραν τοῦ Ἰορδάνου· ἦσαν γὰρ ἐκεῖ πολλὰ πλήθη χριστιανῶν ὀρθοδόξων καὶ εὐημερημένων· μετὰ γὰρ τὸν σουλτὰν Σουλεϊμὰν ἐπὶ τοῦ σουλτὰν Ἀχμέτη ἔλειψαν οὗτοι ἐκεῖθεν σχεδὸν παντελῶς. Ἐκεῖ γοῦν διάγοντος τοῦ πατριάρχου, οἱ φίλοι Φράγκοι, περὶ ὧν προείπομεν, εὐκαιρίας δῆθεν τυχόντες, κιβώτιον ἢ ἀλτάριον σιδηροῦν ἐπάνω τῆς ἁγίας ἔβαλον Ἀποκαθηλώσεως καὶ ἐλειτούργουν. Ἀλλ' ὁ θεῖος οὗτος Γερμανὸς τὸ τοιοῦτον ὅτε ἔμαθεν, ἔτρεξεν ἐκεῖθεν πάραυτα, καὶ εἰσελθὼν εἰς τὸν ναὸν αὐταῖς χερσὶν ἔρριψεν ἐκεῖνο ἐκ τῆς Ἀποκαθηλώσεως, ὀνειδίσας αὐτούς, ὡς ἔπρεπεν, ἐπὶ τῷ δράματι. Ἐν δὲ τῷ ἐννεακοσιοστῷ τριακοστῷ τρίτῳ ἔτει τῆς φυγῆς ὁραμὼν εἰς Κωνσταντίνου ἐδέξατο καὶ οὗτος χρυσόβουλλον παρὰ τοῦ σουλτάνου Κανὼν-Σουλεϊμάν, ὅπερ καὶ αὐτὸ βεβαιοῖ πρὸς τοῖς ἄλλοις, ὅτι καὶ τὸ μοναστήριον ἡ ἁγία Σιὼν διατελεῖ εἰς τὴν ἐξουσίαν τῶν Ῥωμαίων. Οὗτος ὁ ἀοίδιμος καὶ τὸ κουβούκλιον τοῦ Παναγίου Τάφου ὃν συντετριμμένον πρότερον ὑπὸ τῶν Ἀράβων ἀνεκαίνισε καὶ μὲ στύλους μαρμαρίνους

ἐστερέωσε καὶ ἐκαλλώπισε καὶ μὲ μόλυβδον ἐσκέπασεν, ὡς φαίνεται τὴν σήμερον. Ἐν δὲ τῷ ,αφμε' ἔτει Χγ Ἰανουαρίου ιδ' σεισμὸς ἐν τῇ Ἁγίᾳ Πόλει καὶ πάσῃ τῇ Παλαιστίνῃ ἐγένετο φοβερώτατος, ὑφ' οὗ κατεκρημνίσθη τὸ τούρλαιον τοῦ ὡραιοτάτου καμπαναρείου, (ὅπερ) ἐπιπεσὸν ἐπὶ τὸ τούρλαιον τῆς ἐκκλησίας, τῆς μέσον τῶν δύο ἐκκλησιῶν, τῆς τοῦ Ἀδελφοθέου καὶ Ἁγίων Τεσσαράκοντα, συν αὐτῷ κατηδαφίσθη· πρὸς δὲ καὶ τὸ ἐν τῇ ἁγίᾳ Βηθλεὲμ καμπαναρεῖον ἐναπομεῖναν καὶ αὐτὸ ὑπὸ τῶν Ἀγαρηνῶν, ὡς εἴρηται, τότε ἀνεπηρέαστον ὑπὸ τοῦ σεισμοῦ ὅμως ἐκρημνίσθη. Ὁ δὲ πατριάρχης Γερμανὸς εὑρισκόμενος χάριν ἐλεημοσύνης ἐν Κωσταντίνου, καὶ μέλλων ἐπιστρέφειν εἰς Ἱερουσαλήμ, ἔλαβε μεθ' ἑαυτοῦ τὸν ἀδελφιδοῦν αὐτοῦ, ἱερέα ὄντα, καὶ τὸ μοναχικὸν αὐτὸν ἐνδύσας σχῆμα Σωφρόνιον μετωνόμασε καὶ διάδοχον τοῦ θρόνου ἀνέδειξεν, αὐτὸς καταλιπὼν τὰ ἐπίγεια (ζήσας πατριάρχης ἔτη μς') ἐν ἔτει ἀπὸ Ἀδὰμ ,ζρις'.

ρι'. *Σωφρόνιος* γοῦν Ἱεροσολύμων ἐγένετο, ἀνὴρ ἱλαρὸς καὶ εἰς τὰ θεῖα εὐλαβέστατος· ἀπεβίω δὲ καὶ ὁ σουλτὰν Σουλεϊμὰν καὶ ἐκράτησε τῆς ἀρχῆς ὁ υἱὸς αὐτοῦ σουλτὰν Σελὴμ χρόνους ἡ' ἢ θ', ἐν ἔτει Χγ ,αφο ἢ ,αφς'· μεθ' ὃν ὁ υἱὸς αὐτοῦ σουλτὰν Μουράτης, βασιλεύσας χρόνους κ' ἢ κβ'· μεθ' ὃν ὁ υἱὸς αὐτοῦ σουλτὰν Μεχμέτης ἐν ἔτει ,αχδ' ἢ ,αφιε', ἐπικρατήσας ἔτη η' ἢ θ'. Οὗτος ὁ Σωφρόνιος ἠθέλησε νὰ ἐμποδίσῃ τὸν λαὸν νὰ μὴ κοιμᾶται ἔνδον τοῦ ναοῦ εἰς τὰς ἡμέρας τῶν παρρησιῶν, ἔτι δὲ καὶ τὰ φαγοπότιά των καὶ τὰς ὀχλαγωγίας των· ἀλλ' ὁ πάντα ὑπομένων δι' ἄμετρον φιλανθρωπίαν Χριστὸς ὁ Θεὸς ἐφάνη αὐτῷ κατ' ὄναρ λέγων· «Ἐπίσκοπε, ἐγὼ ὑπομένω, σὺ δὲ διατί θέλεις νὰ ἐμποδίσῃς τὸν λαόν μου νὰ μὴ ἐναπομένῃ ἔνδον τοῦ ναοῦ μου; ἀρκεῖ εἰς αὐτοὺς ἡ πρὸς ἐμὲ εὐσέβειά των, κατὰ δὲ τὰ ἄλλα γενέσθω οἰκονομία». Ἐπὶ τούτου τοῦ πατριάρχου οἱ ἐν Βηθλεὲμ πατέρες πορευθέντες, ὡς ἔθος, τὴν ἡμέραν τοῦ μεγάλου Σαββάτου διὰ τὸ Ἅγιον Φῶς εἰς τὴν Ἱερουσαλήμ, καὶ μὴ ἔχοντές τινα ὑποψίαν, ἀφῆκαν τὴν ἐκκλησίαν εἰς τοὺς Φράρους, ἕως νὰ ἐπιστρέψωσιν· ἀφῆκε δὲ καὶ ὁ κανδηλάπτης, ὡς ἁπλοῦς

καὶ ἀπονήρευτος, καὶ τὰς κλεῖς τοῦ Ἁγίου Σπηλαίου. Τὸ δὲ πρωὶ ἐπιστρέψαντες ἀπὸ τῆς πανηγύρεως ἐξ Ἱερουσαλὴμ καὶ Βηθλεὲμ καὶ σὺν αὐτοῖς ὁ κανδηλάπτης, καὶ τὰς κλεῖς ζητοῦντες ἤκουσαν ἀνελπίστως ὅπερ οὐδέποτε εἰς νοῦν ἔβαλον· οἱ γὰρ Φράροι οὐ μόνον τὰς κλεῖς οὐκ ἀπέδωκαν, ἀλλὰ καὶ περιὔβρισαν, καὶ εἰς τοὺς κρατοῦντας ἐν Ἱερουσαλὴμ χρήματα δόντες τὸ Ἅγιον Σπήλαιον ἐξουσίασαν. Εἰς ταύτας δὲ τὰς ἡμέρας ἐλτζῆς τῶν Φραντζέζων ἀπὸ τῆς Κωνσταντίνου εἰς Ἱερουσαλὴμ συνέβη νὰ ἐλθῃ· καὶ οὗτος εἰς τοὺς κριτὰς ἓξ χιλιάδας φλωρία δοὺς ἐπῆρεν ἀπὸ τῶν ὀρθοδόξων τὸν ἅγιον Γολγοθᾶν. Εἰς ταῦτα ὁ μακαριώτατος Σωφρόνιος πάντα λίθον κινῶν—τὸ τοῦ λόγου—καὶ δώδεκα χιλιάδας φλωρία εἰς τοὺς αὐτοὺς κριτὰς ἐξοδεύσας ἐπῆρεν ὀπίσω τὸν ἅγιον Γολγοθᾶν· ἀλλὰ καὶ τοῦτον οὐχὶ ὅλον, ἀλλὰ τὸ Κρανίον, ὅπου ἡ τοῦ Σωτῆρος σταύρωσις· τὸ δὲ κατὰ τὸ νότιον τούτου ἑτερόμηκες τετράγωνον εἰς χεῖρας τῶν Φράγκων ἔμεινε. Μετὰ δὲ τὸν Μεχμέτην ἐν ἔτει Χγ αχγ' ἢ ,αχιζ' ἐβασίλευσεν ὁ σουλτὰν Ἀχμέτης ἔτη ιδ'. Εἰς τούτου τὰς ἡμέρας ὁ τρισόλβιος Ἱεροσολύμων ἀνεκαίνισε τὸν ναὸν τῶν ἁγίων θεοστέπτων βασιλέων Κωνσταντίνου καὶ Ἑλένης, τὸν ἐν τῷ Πατριαρχείῳ, δι' οἰκείων ἀναλωμάτων· ἔτι δὲ καὶ ἐν τῇ ἐκκλησίᾳ τῆς ἁγίας Βηθλεὲμ τὰς τέσσαρας καμάρας, τὰς εἰς τὰ δύο μέρη τοῦ Ἁγίου Σπηλαίου, ἀνήγειρεν· ἐκινδύνευε γὰρ ἡ ἐκκλησία νὰ πέσῃ. Οὕτως οὖν, ὅσον ἠδύνατο, ὁ θεῖος οὗτος πατὴρ καλῶς τελεσιουργήσας καὶ θεοφιλῶς πολιτευσάμενος ἐποίησε παραίτησιν τῆς πατριαρχίας εἰς τὸν συγγενῆ αὐτοῦ παπᾶν Θεοφάνην.

ρια'. *Θεοφάνης* ἔστη ἐπὶ τοῦ θρόνου τῆς Ἱερουσαλήμ, χειροτονηθεὶς παρά τε τοῦ Ἀλεξανδρείας Κυρίλλου καὶ Δωροθέου Ἀντιοχείας, λαχόντων ἐν τῇ Ἱερουσαλὴμ χάριν προσκυνήσεως. Τοῦ δὲ Σωφρονίου διὰ τὸ εἶναι ποδάλγον καὶ γέροντα παραιτησαμένου, πατριαρχεύσαντος ἔτη λη' ἢ κϑ', καὶ εἶτα ἔτη ια' ἐπιζήσαντος, ὁ ἀρχιποίμην τὴν μακαρίαν αὐτοῦ ψυχὴν ἐν τῇ Ἱερουσαλὴμ τῇ ἐπουρανίῳ Χριστὸς ὁ Θεὸς ἡμῶν κατετάξατο. Μετὰ δὲ τὸν Ἀχμέτην ἐβασίλευσεν ὁ σουλτὰν Μουσταφᾶς ἔτη ιη', οἱ

δὲ δανεισταὶ ἐπίεζον τὸν πατριάρχην ζητοῦντες τὰς δώδεκα χιλιάδας τὰ φλωρία, περὶ ὧν εἴρηται. Ὅθεν προσέδραμεν οὗτος εἰς τὰ φιλόχριστα σπλάγχνα τῶν ὀρθοδόξων Ἑλλήνων, καὶ συνάξας ταῦτα ἀπέδωκε τοῖς δανεισταῖς, ἐλευθερωθεὶς (οὕτω) τοῦ χρέους ἐκείνου. Ἔτι δὲ ἐτελείωσε καὶ τὸ τέμπλον τοῦ ναοῦ τῆς Ἀναστάσεως, ὅπερ ἤρξατο μὲν κατασκευάζεσθαι ἐπὶ Σωφρονίου, ἔλαβε δὲ πέρας ἐπὶ τούτου τοῦ Θεοφάνους ἐν ἔτει ,αχβ΄· ὁ δὲ σταυρὸς ὁ ἐπὶ τοῦ τέμπλου ἐτελεσιουργήθη ἐν ἔτει ,αχή καὶ τὸ τρούλλαιον τὸ ἐπὶ τῆς ἁγίας τραπέζης· τούτων μέντοι γε ἡ δαπάνη ἐδόθη παρὰ τῶν εὐλαβεστάτων χριστιανῶν τῶν ἐν τῇ περιφήμῳ Κρήτῃ, ὧν ἡ μνήμη εἴη ἀξιύμνητος διαιωνίζουσα. — Ἔθος ἀρχαῖον ἐπεκράτησεν, ὅπως τὸ ἑσπέρας τῆς παραμονῆς τῶν Χριστουγέννων γίγνηται ἐν τῇ μεγάλῃ ἐν Βηθλεὲμ ἐκκλησίᾳ λιτανεία παρά τε τοῦ πατριάρχου καὶ τῶν ἀρχιερέων καὶ κληρικῶν καὶ τοῦ λαοῦ οὕτως. Ἄρχεται ἡ περικύκλωσις τῆς λιτῆς ἀπὸ τοῦ δυτικοῦ καὶ βορείου (τῆς ἐκκλησίας μέσης) μέρους καὶ εἰσέρχεται τὸ ἱερατεῖον διὰ τῆς βορείου πύλης εἴσω τοῦ Ἁγίου Σπηλαίου, ψαλλομένου τοῦ " Ἡ γέννησίς σου, Χριστὲ ὁ Θεός " · εἶτα ἐξέρχεται τοῦ σπηλαίου διὰ τῆς νοτίου πύλης αὐτοῦ. Κατὰ τοῦτο τὸ ἔθος ἐν ἔτει Χγ ,αχκθ΄ ἦλθεν ὁ πατριάρχης εἰς Βηθλεὲμ τὴν παραμονήν, καὶ γινομένης τῆς λιτανείας καὶ χρείας οὔσης νὰ διαβῇ τὸ ἱερατεῖον ἀπὸ τῆς βορείου πύλης τοῦ Ἁγίου Σπηλαίου ἐπὶ τὴν νότιον, οἱ Φράροι ἔκλεισαν τὸ "Αγιον Σπήλαιον, λέγοντες " Κατὰ τὸ παρὸν ὁ κανδηλάπτης ἡμῶν ψωμὶ τρώγει ". Ὅθεν ἐτέθη θρόνος καὶ ὁ πατριάρχης ἐκάθισεν· οἱ δὲ Φράροι μετ' οὐ πολὺ ἦλθον λέγοντες· " Ὁ κανδηλάπτης ἡμῶν ὑπῆγεν εἰς Ἱερουσαλήμ "· ἐφ' οἷς ὁ σεβάσμιος πατριάρχης ταραχθεὶς οὐκ ἐλάλησεν, ἀλλ' ἀφεὶς τὸν ἑσπερινὸν ἐπορεύθη εἰς Ἱερουσαλὴμ ἐφησυχάζων. Οἱ δὲ Φράροι οὐκ ἔμειναν μέχρι τούτου· ἀλλὰ καὶ πάλιν ἐταράχθησαν· τὸν γὰρ μαρμάρινον πατριαρχικὸν θρόνον, τὸν ἐπὶ τοῦ ἁγίου Γολγοθᾶ, τὸν ὑπὸ τὴν καμάραν τὴν δυτικήν, τὴν μεταξὺ τῶν δύο τετραγώνων, ὡς εἴρηται, τοῦτον οἰκειοποιούμενοι ἐτρύπησαν, ἔτι δὲ καὶ τὴν ἀντικρὺ τοῦ θρόνου καμάραν· καὶ σίδη-

ρον χοντρὸν καὶ δίκτυον σιδηροῦν ἔθηκαν καὶ ἐχώρισαν τὸν τόπον περικλείσαντες, διὰ νὰ μένῃ βατὸς ὑπ' αὐτῶν μόνον· τὸ γὰρ ἱερὸν ἔδαφος τοῦ ἁγίου Γολγοθᾶ ἦν μὲν εἰς πᾶσαν φυλὴν χριστιανῶν διὰ προσκύνησιν ἀκώλυτον, οὐκ ἦν δὲ ἄδεια καὶ νὰ λειτουργῶσιν, ἀλλ' ἢ μόνον οἱ ἡμέτεροι ἐλειτούργουν. Ἔλαβον δὲ τὸ ἐνδόσιμόν πως παρὰ τῶν ἡμετέρων καὶ οἱ Φράροι καὶ ἔκαμνον τὰ ἔθιμά των εἰς τὸ μέρος ὁποῦ προείπομεν· ἀλλὰ τότε οὗτοι παντάπασιν ἤθελον νὰ ἁρπάσωσι καὶ τὰς δύο καμάρας καὶ (τὸν τόπον) ἔνθα κεῖται ἡ ἡμετέρα ἁγία τράπεζα ἀνατολικά, ἐπέχουσα ὅλον τὸ πλάτος τοῦ τόξου τῆς καμάρας, καὶ ἔνθα ὁ θρόνος ὁ μαρμάρινος, ὡς εἴρηται. Ἀλλ' ὁ πατριάρχης τότε ταραχθεὶς καὶ θείῳ ζήλῳ πλησθεὶς οὐκ ἐσιώπησεν, οὐδὲ ἡσύχασεν· ἀλλ' ἀπῆλθεν εἰς τὸν κριτὴν τοῦ τόπου καὶ τὰ χρυσόβουλλα τῶν βασιλέων ἔδειξε, πῶς ἡμῖν τὰ προσκυνήματα οἱ σουλτάνοι διδόντες ἐπικυροῦσι διαλαμβάνοντα. Κατὰ ταῦτα λοιπὸν ἀπεφάσισεν ὁ κριτής, καὶ κατὰ τὴν ἀπόφασιν τοῦ κριτοῦ ἐπανέλαβεν ὁ πατριάρχης καὶ τὸ Ἅγιον Σπήλαιον καὶ τὸν ἅγιον Γολγοθᾶν, καὶ ἐξώσθησαν ἐκεῖθεν οἱ Φράροι· αἱ δὲ τρυπηθεῖσαι ὀπαὶ ἐν τοῖς μαρμάροις σώζονται μέχρι τῆς σήμερον, ἐν οἷς εἴπομεν τόποις, μαρτυροῦσαι τὸ αὐθαδες τῆς αὐτῶν πράξεως. Οἱ Φράροι ὅμως πάλιν ταράττονται καὶ φλωρία πολλὰ τῷ ἐπάρχῳ τῆς Ἱερουσαλὴμ Ἀπουφούλῃ δόντες παρεκάλεσαν νὰ θανατωσῃ τὸν πατριάρχην· ὅστις, κατὰ τὴν αἴτησίν των καὶ τὸ πλέον καὶ τὸ πρώτιστον διὰ τὰ φλωρία, ἐφυλάκωσε τὸν θεῖον Θεοφάνην εἰς τὴν Ἀκρόπολιν, καὶ τὸ ἑσπέρας ἐλθὼν εἰς τὸν κριτὴν παρεκίνει αὐτὸν νὰ συμφωνήσῃ μετ' αὐτοῦ καὶ νὰ θανατώσῃ τὸν πατριάρχην· ἀλλ' ὁ κριτὴς οὐδαμῶς ἠθέλησεν εἰς τοῦτο, ἀλλ' ἀποστείλας ἐξήγαγεν αὐτὸν τῆς φυλακῆς καὶ εἰς τὸ κελλίον του ἔπεμψεν. Ἔμεινε λοιπὸν ἐκεῖ κρυπτόμενος διὰ τὸν φόβον τῶν Φράρων· τῇ δὲ τοῦ προφήτου Ἠλιοῦ ἑορτῇ, ἥτις γίνεται εἰς τὴν μονὴν αὐτοῦ, τὴν μεταξὺ Ἱερουσαλὴμ καὶ Βηθλεέμ, ὡς ἄλλοθι εἴρηται, ὁ πατριάρχης φορέσας γυναικείαν στολὴν ὑπῆγεν εἰς τὴν μονὴν οὕτως, καὶ ἐκεῖθεν διὰ νυκτὸς ἔφυγε διὰ τὴν Πτολεμαΐδα· ὅπερ μαθὼν ὁ Ἀπουφούλης, γράψας εὐθέως ἀπέστειλεν εἰς τὸν ἡγεμόνα

τοῦ Ζηνίου νὰ συλλάβῃ τὸν Θεοφάνην ἐκεῖθεν διαβαίνοντα, καὶ νὰ λάβῃ διὰ τοῦτο διὰ χειρός του ἀπὸ τῶν Φράρων πολλὰς χιλιάδας φλωρίων· ὁ δὲ τοῦτο γνοὺς ἔπεμψεν εὐνοῦχον τινα νὰ τὸν εὕρῃ καὶ νὰ τὸν φέρῃ· ὃν ἔτυχεν ἀναπαυόμενον πλησίον τινὸς βρύσεως, ἐγγὺς τοῦ Καρμηλίου. Ἦν δὲ οὗτος ὁ εὐνοῦχος Αἰθίοψ, χριστιανὸς πρότερον, καὶ εὐλαβηθεὶς τὸν πατριάρχην ἰδών, καὶ λαβὼν φιλοδώρημα παρ' αὐτοῦ φλωρία ἑκατόν, ἀφῆκεν ἐλεύθερον· καὶ ἐπιστρέψας εἶπεν εἰς τὸν αὐθέντην του τὸν ἀποστείλαντα πῶς δὲν εὗρε τὸν πατριάρχην. Ἀπαλλαγεὶς λοιπὸν καὶ ἐκ τούτου ὁ Θεοφάνης ἔδραμε διὰ θαλάσσης εἰς Κωνσταντίνου. Κρίνεται εἰς τὸ βασιλικὸν ντιβάνιον, λαμβάνει τὰ νικητήρια, δείκνυνται οἱ Φράροι ἄδικοι, ὁ σουλτὰν Μουράτης δωρεῖται χρυσόβουλλον τῷ πατριάρχῃ· βεβαιοῖ αὐτῷ τὰ προσκυνήματα· ἀποσπᾷ αὐτά, ἤγουν τὴν Ἀποκαθήλωσιν, τὸν Γολγοθᾶν καὶ τὸ Ἅγιον Σπήλαιον, ἀπὸ τῶν Φράρων· ἔτι δὲ καὶ τὸν κῆπον, τὸν ὀπίσω τοῦ βήματος τῆς ἐν Βηθλεὲμ ἐκκλησίας, καὶ τὴν νότιον αὐτῆς αὐλήν, ἔνθα ἦσαν καὶ μνήματα χριστιανῶν. Ταῦτα δὲ ἐγένοντο δι' ἄρχοντος τοῦ σουλτάνου, ὃς ἐπ' αὐτῷ τούτῳ ἀπέστειλεν αὐτὸν εἰς Ἱερουσαλήμ· τὰς μέντοι ποδέας καὶ κανδήλια τῶν Φράρων οὐκ ἐξέβαλεν ἐκ τῶν προσκυνημάτων ὁ ἄρχων. — Ἐν ἔτει ἀπὸ Ἀδὰμ ,ζρμβ', κύκλος ἡλίου β', σελήνης ιζ', ἡ Χριστοῦ γέννησις ἡμέρᾳ Τετάρτῃ, τὰ Θεοφάνια ἡμέρᾳ Δευτέρᾳ, νομικὸν πάσχα ἀπριλίου ε', τὸ ἅγιον πάσχα ἀπριλίου ς', τὸ δὲ ἀρμενικὸν ἀπριλίου ιγ'· οἱ γὰρ Ἀρμένιοι πασκάζουσιν εἰς κάθε ἐνενήκοντα χρόνους ὕστερον τοῦ σωτηρίου ἡμῶν πάσχα μίαν ἑβδομάδα· ὅπερ πάσκα συνέβη τότε, καθ' ὃν χρόνον ἦν τις ἐν Ἱερουσαλὴμ τοὔνομα Κιρκόρ, τῷ γένει καὶ τῇ γνώμῃ καὶ Ἀρμένης καὶ τῶν Ἀρμενίων ἐπίτροπος· ὃς μὲ βίαν κατέπεισε καὶ τοὺς Κόπτας ὀλίγους ὄντας νὰ συνεορτάσωσιν αὐτῷ μὴ θέλοντας καὶ νὰ συνηστεύσωσιν· εἰς δὲ τὸ ἡμῶν μοναστήριον ἐλθὼν εἶπε· "Ποιήσατε ὑμεῖς τὰ ἑαυτῶν ἔθιμα, εὐγάλετε καὶ τὸ Ἅγιον Φῶς, καὶ ὁ παρασχὼν ὑμῖν τὴν χάριν ἐκείνην ἴσως καὶ ἡμῖν χαρίσεται". Οὕτως εἰπὼν ὑπέστρεψε χαίρων, ὡς ἀπατήσας τοὺς Ῥωμαίους τῇ δολιότητι τῶν ῥημάτων. Ἔφθασε λοιπὸν ἡ

τακόσια πουγγεῖα· ὅπερ μαθόντες οἱ ἐν Ἱερουσαλὴμ αὐθένται καὶ εἰς τὸν μουλλᾶν συναθροισθέντες καὶ τοὺς τρεῖς τῶν μοναστηρίων ἐπιτρόπους προσκαλέσαντες σήμερον ἀπριλίου ιβ', ἀπεφάσισαν οὐδὲ γράμμα οὔτε ἀποσταλῆναι εἰς Ἰόππην, οὔτε ἐκεῖθεν πεμφθῆναι· καὶ τοῦτο διὰ κήρυκος τὸ ψήφισμα ἐκηρύχθη εἰς ὅλας τὰς φυλάς. Ἀπέστειλαν δὲ αὐτοὶ καὶ ἀπὸ μέρους τῶν μοναστηρίων καὶ ἐκ μέρους των ἀναφορὰς κατ' αὐτοῦ τοῦ Ἀσσὰλ εἰς τὸν σουλτάνον διὰ πεζοδρόμου, παραγγείλαντες ἵνα διὰ χειρὸς τοῦ ἐλτζῆ τῶν Ῥώσων ἐγχειρισθῶσιν εἰς χεῖρας τοῦ σουλτάν, φοβούμενοι μήπως ὁ βεζύρης ὡς οἰκειούμενος τὸν Ἀσσὰλ κρύψῃ τὰς ἀναφοράς· ὁ δὲ Ἀσσὰλ μαθὼν ὅτι οἱ ἐν Ἱερουσαλὴμ οὐ βουλονται ἀποστεῖλαι τοὺς προσκυνητὰς εἰς Ἰόππην, ἀλλὰ διὰ τῆς Νεαπόλεως εἰς τὸ Ἄκρι, ἔπεμψε στράτευμα ἕως πεντακοσίους εἰς τὸ Μπῆρι, ἵνα μὴ ἐάσωσιν ἐκεῖθεν διαβῆναι τοὺς προσκυνητάς. Ὅθεν φοβηθέντες οἱ ἐντόπιοι, μὴ κατὰ τῆς Ἱερουσαλὴμ ὁρμήσωσιν [οἱ στρατιῶται], προσεκαλέσαντο εἰς βοήθειαν τὸν Ἰπν-Ζερὰρ-σεχ-Νταοὺτ ἀπὸ τὸ Σαννούρ, ὃς τῇ κα' τοῦ αὐτοῦ ἀπριλίου ἔφθασεν εἰς Ἱερουσαλήμ, ἔχων μεθ' ἑαυτοῦ τριακοσίους ἱππότας καὶ τριακοσίους πεζούς· καὶ τὴν νύκτα τῆς αὐτῆς ἡμέρας οὗτοι τρέξαντες εἰς τὸ Μπῆρι ἔκλεψαν ἵππους ὀκτώ· ἐφ' ᾧ θυμωθέντες οἱ ἐν Μπῆρι τοῦ Ἀσσὰλ στρατιῶται, τῇ κς' τοῦ αὐτοῦ καὶ πεζοὶ καὶ ἱππόται ὥρμησαν κατὰ τῆς Ἱερουσαλήμ, καὶ σταθέντες ἀντικρὺ τὸ μεσημέρι, μακρὰν ἡμισείας ὥρας διάστημα, οὐδὲν ἄλλο ἔπραξαν, ὅτι μὴ λαβόντες ἀπὸ τὸ χωρίον Σωφὰς δύο καμήλους καὶ ἀπὸ τὸ ἀμπέλι τοῦ μουφτῆ δύο βόας ἐκεῖσε ἐργαζομένους καὶ ἀγέλην αἰγῶν ἐπανέκαμψαν κατὰ τὴν ὥραν. Οἱ δὲ χριστιανοὶ τῇ κζ' δυσφορήσαντες, ὅτι οὐκ ἀφίενται καταβῆναι εἰς Ἰόππην, συνήχθησαν ὄχλω καὶ θορύβω καὶ κραυγῇ, οἱ μὲν μετὰ ξύλων, οἱ δὲ καὶ λίθοις, τὸν ἐπίτροπον καὶ δραγομάνον λιθολευστῆσαι καὶ τύψαι ἡτοιμάσθησαν· ἐπαύσαντο δὲ πρὸς καιρὸν ἀνακουφισθέντες τοῦ χόλου, μαθόντες ὅτι ὁ ἐπίτροπος ὑπάγει εἰς τὸν μουφτῆν τοῦ παρακαλέσαι, ὅπως ἀφήσῃ αὐτοῖς ἐλευθέραν τὴν εἰς Ἰόππην [ἔξοδον]· ὁ δὲ οὔτε λόγοις, οὔτε δακρύοις, οὔτε χρή-

μασιν, οἷς ἐχρήσατο ὁ ἐπίτροπος, ἐπείσθη· τῇ δὲ κη' ὁ ἐπίτροπος συμπαραλαβὼν τρεῖς τῶν ἀρχιερέων ἀπῆλθεν εἰς τὰ μοναστήρια καὶ ὡμίλησε τὰ δέοντα τοῖς χριστιανοῖς, ἵνα παύσωσι τῆς ἀλόγου ὁρμῆς τοῦ μή τι τῶν ὀλεθριωτάτων τοῖς Τούρκοις παθεῖν ἡμᾶς· οὐ μόνον γὰρ κατὰ καλογήρων τὰ χείριστα ἔλεγον οἱ χριστιανοί, ἀλλὰ καὶ κατ' αὐτῶν τῶν Τούρκων, ὑφ' ὧν καὶ ἠπειλεῖτο ὁ καθ' ἡμῶν κίνδυνος. Κατὰ γὰρ αὐτὴν τὴν ἡμέραν καὶ ἕνα τῶν χριστιανῶν ἐντόπιον μπιστόλῃ βαλών τις ἀλόγως καὶ ἀναιτίως ἔκτεινεν, οἱ δὲ οἰκεῖοι τοῦ ἀποθανόντος ὥρμησαν μετὰ μεγάλων κραυγῶν εἰς τὸ Πατριαρχεῖον, καὶ εὑρόντες τὴν πύλην κεκλεισμένην, λίθους καὶ εἰς ταύτην καὶ τὰ παραθύρια ὑβρίζοντες ἔρριπτον, προσκαλούμενοι τοὺς πατέρας εἰς ἐκδίκησιν τοῦ κτανθέντος. Τῇ κθ' ἦλθεν εἴδησις παρὰ τοῦ Ἡμπραήμ-πασα, ὅτι ἐπέστρεψεν ἀπὸ τοῦ Κχαμπὲ καὶ ὅτι ἅπαντες, οἵ τε ἐν Νεαπόλει καὶ Ἱερουσαλὴμ καὶ Χεβρών, πολεμήσουσι τὸν ἐν Ἰόππῃ Ἀσσάλ (ὅθεν καὶ διὰ τῶν πυροβόλων ἐποίησαν οἱ ἐν Ἱερουσαλὴμ τὴν χαρὰν τῇ μεσημβρίᾳ καὶ ἑσπέρᾳ), καὶ διότι ἡ ἡγεμονία αὐτῷ ἀνεκυρώθη. Μαΐῳ γ' ἐπανέστρεψεν ἀπὸ τοῦ Μπὴρ τὸ στράτευμα τοῦ Ἀσσὰλ εἰς Ῥέμλι, ἐπὶ λόγῳ τοῦ μή τινα τῶν προσκυνητῶν διὰ τῆς Νεαπόλεως διελθεῖν, ἀλλὰ διὰ τῆς Ἐμμαοῦς, ἐπιστατοῦντος τοῦ Ὠτμὰν Ἀμπουγόης εἰς Ἰόππην. Μαΐου δ' διὰ τῆς Ἱεριχοῦς ἀπὸ τοῦ Ἰωσὴφ Ζεραὰρ ἔφθασε καὶ ἄλλη συμμαχία (χαβάριδες 82) εἰς Ἱερουσαλήμ, φέροντες μεθ' ἑαυτῶν καὶ τέσσαρας κεφαλὰς τῶν Ἀχτέμιδων, ἀντισταθέντων αὐτοῖς. Μαΐου ς' ὁ Κασίμ-πεης, πρώην μουτσελήμης, διήγειρε τὸν Πέντερ διὰ τοῦ σεχ-Νταοὺτ Σανουρλὶ καὶ τῶν δύο σέχιδων τῶν Ζεμαήνιδων, καὶ κατέπεισαν τὸν μουφτὴν διὰ νὰ δοθῇ ἄδεια νὰ κατέβωσιν οἱ χατζῆδες εἰς Ἰόππην. Ὅθεν καὶ κατέβησαν χθὲς τῇ αὐτῇ ἡμέρᾳ καὶ σήμερον πολλοί, πλὴν ὁ κιρᾶς ἕως εἴκοσι γρόσια τὸ καμῆλι καὶ ιε' τὰ ἱππικά.

Τῷ αὐτῷ ἔτει ἐγένετο ἔλλειψις ὕδατος τῇ Ἱερουσαλήμ, ὥστε ἐπωλήθη τὸ ὀνικὸν φορτίον ἀπὸ τοῦ ἐν τῇ πηγῇ τοῦ Ἰωὰβ ὕδατος παΐδια εἴκοσι τὸν ὀκτώβριον· οὗ τῇ εἰκοστῇ ἄνεμος μέγας ἠγέρθη, ὥστε συνετρίβησαν τὰ ἐν Ἰόππῃ πλοῖα· καὶ τῇ πέμπτῃ

ὁμοίως νοεμβρίου τὸ ἀπὸ τῆς Πόλεως τῶν χατζήδων καράβι ἐν Πτολεμαΐδι· ὁ δὲ Ἀπτουλλᾶ-πασας, ἡγεμὼν τῆς Δαμασκοῦ, ἐζημίωσε τὰ μοναστήρια ἕκαστον ὑπὲρ τὰς ἑκατὸν χιλιάδας γρόσια, ἐλθὼν κατὰ τὸν ὀκτώβριον [καὶ] ἐπιμείνας δεκαὲξ ἡμέρας ἐν Ἱερουσαλήμ. Ἐγένετο δὲ βροχὴ μὲ ἐκείνους τοὺς ἀνέμους πολλή, καὶ οὕτω διελύθη ἡ ἔνδεια τοῦ ὕδατος· ἀλλ' ὁ σῖτος τὸ καφίσι πωλεῖται μαϊδία γρόσια $22^1/_2$, τὸ σισαμέλαιον αἱ ἕνδεκα ὀκάδες γρόσια 24 καὶ τὸ χλωρὸν μάλαθρον ἑπτὰ δράμια εἰς τὸν ἕνα παρᾶν.

Νοεμβρίου ιθ' διελάλησε κῆρυξ, ἵνα οἱ Παλαιστινοὶ φυγάδες, [οἱ] ὄντες ἀπὸ Ῥέμλι, Γάζης καὶ Λύδδης, ἀπέλθωσιν εἰς τὰ ἴδια, κατὰ τὴν προσταγὴν τοῦ ἐξουσιάσαντος τούτους τοὺς τόπους Σουλεϊμάν-πασα, ἡγεμόνος Σιδῶνος καὶ Ἄκης, Ἴβηρος, τοῦ ποτὲ μουχαφίσι τῆς Ἱερουσαλήμ, ὡς εἴρηται· ὁ γὰρ Ἀπουμάρακ καθηρέθη παντάπασι καὶ τῆς ἡγεμονείας, καὶ κινδυνεύει καὶ εἰς αὐτὴν τὴν ζωήν, διὰ τὴν πρὸς τὴν βασιλείαν ἀπείθειάν του, ὡς μὴ ἀπελθὼν εἰς τὸ ἐν Ζήτα διορισθὲν εἰς αὐτὸν πασαλίκι καὶ διὰ τὰς παρὰ ἄνθρωπον ἁρπαγὰς καὶ ἀδικίας αὐτοῦ. Ὅθεν καὶ τὴν σήμερον μένει ἔγκλειστος ἐν Ἰόππῃ. Σήμερον τῇ κα' τῶν Εἰσοδίων ἦλθεν εἴδησις ἀπὸ τῆς Ἰόππης, ὅτι χθὲς πρὸς τὰς δύο ὥρας τῆς νυκτὸς ὁ Ἀπουμαράκης μετὰ ἄλλων ἀνθρώπων του ἔφυγε διὰ τὸ Μπαγδὰτ καὶ ἐπιάσθη ὑπὸ τοῦ στρατεύματος τοῦ Ἀπτουλλᾶ-πασα καὶ ἐφυλακίσθη εἰς τὴν Χαμάν· πολεμήσας γὰρ τὸ στράτευμα τοῦ Σουλεϊμάν-πασα ἡμέρας πέντε, καὶ γνοὺς ὅτι οὐ δύναται πρὸς αὐτὸ καὶ διὰ τὴν ἔλλειψιν τῶν τε πολεμικῶν καὶ τῶν πρὸς τὸ ζῆν καὶ χρημάτων - - -

Ἦλθεν εἴδησις πικρά, ὅτι νοεμβρίου πέμπτῃ, τῷ ,αωε' ἔτει, τὸ καράβι μὲ τοὺς ἀπὸ Πόλεως προσκυνητὰς συνετρίβη ὑπὸ μεγίστης φουρτούνας εἰς τὸ Ἄκρι καὶ ἐπνίγησαν ψυχαὶ ὀγδοήντα ἑπτά, καὶ οἱ λοιποὶ ἕως ἑξήκοντα ἐσώθησαν καὶ ἦλθον εἰς Ἱερουσαλήμ, βρέφη, γέροντες, γερόντισσαι καὶ ὀλίγοι νέοι· οἱ δὲ ἀποθανόντες, οἱ πλείους ἀκμάζοντες καὶ ἀκμάζουσαι. Κρίσις θεία ἀνεξιχνίαστος! Τὸ δὲ πρᾶγμα, ὅπου ἐξέβρασεν ἡ θάλασσα,

ὅλον παρέλαβον οἱ ζῶντες, μαρτυρήσαντες ὅτι ἦν ἰδικόν των εἰς τὸν Σουλεϊμάν-πασαν· τὸ δὲ ἄγνωστον ἐκράτησεν αὐτός. Εἰς τὴν τοιαύτην φορτούναν, κατὰ τὴν Τρίπολιν τῆς Συρίας, πρὸς τὸ ἀκρωτήριον Κάβο-Μπόζο λεγόμενον, ἐσυντρίφθη καὶ ἕτερον καράβιον μὲ ἑξήκοντα προσκυνητάς, οἵτινες ἅπαντες—ὦ τῶν θείων κριμάτων — ἀπεπνίγησαν, καὶ μόνος εἷς ἐσώθη καὶ ἦλθεν εἰς Ἱερουσαλὴμ καὶ ἀπήγγειλε τὸ γεγονός. Ἐν δὲ τῷ ,αως' ἔτει, ἀπριλίου ἑνάτῃ, ἡμέρα β', ὥρα ἑνάτῃ πριν τῆς ἀνατολῆς τοῦ ἡλίου, ἀπέδωκε τὸ χρεὼν ὁ ἐπίτροπος Ναζαρὲτ Κύριλλος, νόσῳ καχεξίας νοσήσας μῆνας σχεδὸν τρεῖς. Ἐν δὲ τῷ αὐτῷ ἔτει, ἰουλίου ιη', ἦλθον παρὰ τοῦ μακαριωτάτου [πατριάρχου τῆς Ἱερουσαλὴμ] γράμματα διορίζοντα ἐπίτροπον πάλιν τὸν ἅγιον Σκυθοπόλεως κύριον Ἀρσένιον. Ἐν ταύταις ταῖς ἡμέραις ἀνηγέρθη καὶ ἡ καμάρα ἡ ἐν τῇ μεγάλῃ πόρτα τοῦ Πατριαρχείου, ἡ πετρόκτιστος. Αὐγούστου ιε' ἐκωλύθημεν ἀπὸ τῶν Μονοφυσιτῶν λειτουργῆσαι ἐπὶ τοῦ Θεομητορικοῦ Τάφου, ὅτι ἦν Σάββατον, παραμονὴ αὐτῶν.

Σεπτεμβρίου ζ' ἐγένετο συνέλευσις ἔνδον τοῦ θείου ναοῦ τῆς Ἀναστάσεως (ἀπὸ μὲν τοῦ μέρους τῶν Ρωμαίων ὁ πανιερώτατος ἅγιος Πέτρας κῦρ Μισαήλ, ἀπὸ δὲ τοῦ μέρους τῶν Φράγκων ὁ πρώην ἐν τῷ Ἁγίῳ Τάφῳ χρηματίσας ἐξ χρόνους κανδηλάπτης Φρὰ-Μικέλος, νῦν δὲ καμαράσης, ἀπὸ δὲ τῶν Μονοφυσιτῶν ἑπτά), καὶ ἐθεωρήθη ἐν τῷ σκευοφυλακίῳ τὸ περὶ τοῦ σκουπίσματος, τοῦ ὑπὸ τὰς καμάρας τοῦ ἔμπροσθεν [τόπου] τῆς Ἁγίας Πόρτας, ἔνθα εἰσὶν αἱ δύο μεγάλαι κολῶναι, τὰς ὁποίας οἱ Ἀρμένιοι αὐθαδῶς [ἐσκούπιζον], ἡμῶν μὴ θελόντων τῶν καθημερινῶν σκανδάλων καὶ σιωπώντων, πρῶτα μὲν μὲ κάλαμον μόνον τὴν στέγην τὴν ὑπὸ τὰς καμάρας, ὡς εἴπομεν· εἶτα [δ'] ἔβαλον, δέσαντες καὶ βαΐον ἐν τῷ καλάμῳ, καὶ ἑκάστην Παρασκευὴν ἐσκούπιζον καὶ τὰς δύο κολώνας μὲ δολιότητα ἕως ἐδάφους. Ὅθεν σήμερον ἐκρίθη ὑπὸ τῆς τῶν ρηθέντων συνελεύσεως, μὲ κοινὴν γνώμην, νὰ ἐξαραχνιάζουν οἱ Ἀρμένιοι τὴν στέγην καὶ μέχρι τοῦ ἡμίσεος τῶν δύο κολωνῶν, ἡμεῖς δὲ καὶ οἱ Φράγκοι ἀπὸ τῆς τρύπας τῆς πρὸς τὸν ἅγιον Γολγοθᾶν βλεπούσης κολώνης ἕως εἰς τὸ ἔδαφος μὲ βαΐον καὶ τὰς δύο κολώνας.

*

Ἐν ἔτει ,αωζ', Ἰουλίου ιε', ἐκηρύχθη νέος σουλτάνος, ὁ ἀπὸ Μεεμέτης Μουσταφᾶς ὁ τοῦ Ἀπτὴλ-Χαμίτ, ἐν Ἱερουσαλήμ. Τῇ κζ' τοῦ αὐτοῦ ἐμφύλιος ἠγέρθη μάχη καὶ πόλεμος ἐκροτήθη: οἱ μετὰ τοῦ πρώην μουφτῆ καὶ οἱ μετὰ τοῦ νέου μουτσελὴμ Κασήμ, οἱ μὲν ἀπὸ τῆς Ἱερουσαλὴμ πρὸς τὸν πύργον, οἱ δὲ ἀπὸ τοῦ πύργου πρὸς τὴν Ἱερουσαλήμ, μὲ τουφέκια καὶ μπορμπάρδες· ἐξ ὧν ἓν κομμάτιον βολίου σιδηροῦ κατὰ τὴν δεκάτην ὥραν τὸ ἑσπέρας τῆς Δευτέρας, τῇ κθ' τοῦ αὐτοῦ μηνός, ἐρρίφθη εἰς τὸν κουμπὲν τοῦ Καθολικοῦ, πρὸς τὸ ζωνάριον τοῦ αὐτοῦ, ἄνωθεν τοῦ τελίου τοῦ μολιβένιου τούρλου καὶ ἐκεῖθεν ἐπὶ τοῦ ἐπάνω τοῦ Ζωοποιοῦ Τάφου, χωρὶς ὅμως τινὸς βλάβης.

Ἐν ἔτει τῷ σωτηρίῳ αωζ', τὸν ἰούλιον, ἀπέστειλαν οἱ Φράροι νὰ ἐγείρωσι τοῖχον ἐπάνω τῆς ἐκκλησίας τῶν Ποιμένων, καὶ κωλυθέντες ἔδειξαν χοζέτιον εἰς τοὺς ἡμετέρους, ὅτι ἔχουσι τὰς ἐπάνω τῆς ἐκεῖσε ἐκκλησίας ἐλαίας ἠγορασμένας πρὸ τριάκοντα ἤδη ἐτῶν. Οὐκ ἐκωλύθησαν ὅμως κατὰ τὸ παρὸν ὑπὸ τῶν ἡμετέρων τοῦ ἐγχειρήματος.

Αὐγούστου τρίτῃ ἐτελεύτησε μία μοναχὴ τοὔνομα Σωφρονία, καὶ διὰ μουρασαλὲ τοῦ μουλλᾶ ἐτάφη ὑπὸ τὴν ἐκκλησίαν τοῦ μοναστηρίου τοῦ ἁγίου Βασιλείου· οὐ γὰρ ἦν δυνατὸν ὑπὸ τοῦ πλήθους τῶν πολεμίων ἐκκομισθῆναι εἰς τὴν ἁγίαν Σιών.

Αὐγούστου δ' ἐφονεύθη καὶ ὁ θυρωρὸς τῆς πύλης τῆς πόλεως, τῆς πρὸς Βηθλεέμ, Χαλὴλ ὀνομαζόμενος, ὑπὸ τῶν αὐτῶν πολεμίων, ὡς ὢν μέρος τῶν ἐν τῇ Ἄκρᾳ.

Ἐν ἔτει τῷ σωτηρίῳ αωη', σεπτεμβρίου λ', πρὸς τὸ ξημέρωμα, τῇ δεκάτῃ ὥρᾳ τῆς νυκτός, ἡμέρᾳ Τετράδι, καθ' ἣν ἑορτάζεται ὁ ἱερομάρτυς Γρηγόριος τῆς Μεγάλης Ἀρμενίας· κατ' αὐτὴν λοιπὸν τὴν ἡμέραν ἐγένετο καὶ ὁ μέγας θρῆνος εἰς ἡμᾶς καὶ ἀπαρηγόρητος, οἷς δικαίοις κρίμασιν οἶδεν ὁ Κύριος· οἱ γὰρ Ἀρμένιοι ἔβαλον κοντάκιον εἰς τὸ μέρος τῆς συναγωγῆς των, ἔνθα λειτουργοῦσι, κατὰ τὰ παράθυρα τοῦ ἁγίου βήματος τῆς ἐκκλησίας τοῦ ἁγίου Κωνσταντίνου καὶ Ἑλένης, πρὸς ἀνατολάς. Οἱ γὰρ Ἀρμένιοι οὗτοι ἐξώρισαν δύο κακούργους αὐτῶν ἐκ τοῦ μονα-

στηρίου των εἰς τὸν θεῖον ναὸν τῆς Ἀναστάσεως πρὸ δύο ἑβδομάδων, καὶ κατ' ἐκείνην τὴν νύκτα μεθυσθέντες καὶ τὸ βιολὶ παίζοντες καὶ ἐκδίκησιν τάχα τῶν προεστώτων αὐτῶν ποιῆσαι θελήσαντες, καὶ ὑπὸ πασῶν τῶν πονηρῶν δυνάμεων κινηθέντες, παραχωρήσει πάντως Θεοῦ ἔβαλον τὸ κοντάκιον, ἐργαλεῖον κατασκευαστὸν μὲ διάφορα εἴδη ἐμπρησμοῦ, ὡς ζημιῶσαι μόνον τὴν ἐκείνων συναγωγήν· ἀλλὰ τὸ πῦρ ἀνήφθη ἐπὶ πλέον, καὶ βουληθέντες σβέσαι οὐκ ἠδυνήθησαν. Ὅθεν ἔκρουσαν τὸ σιδηροῦν σημεῖον ἀνάγκης (ἦν γὰρ τηνικαῦτα ἀσύνηθες τοῦτο κρούειν, ἀλλ' εἰς ἄλλους συνειθισμένους καιρούς)· ὅπερ ἡμεῖς ἀκούσαντες καὶ ἀπορήσαντες (ἠρξάμεθα γὰρ τότε ψάλλειν τοὺς κανόνας ἐν τῷ Ἁγίῳ Κωνσταντίνῳ) καὶ ὁραμόντες εἴδομεν ἐκ τῶν παραθύρων τὴν φλόγα ἔρπουσαν καὶ τὴν ὑποκειμένην ὕλην ξυλικὴν πᾶσαν οὖσαν κατεσθίουσαν· καὶ μεγάλως φοβηθέντες, μή τι πάθοι ὁ μολιβοσκέπαστος κουμπὲς ὁ μέγας τοῦ Παναγίου Τάφου, συνεδράμομεν πάντες οἱ εὑρεθέντες πατέρες, μικροὶ καὶ μεγάλοι, μὲ διάφορα ἀγγεῖα ὕδωρ πολὺ κομίζοντες καὶ ἐκ τῶν ὑψηλῶν παραθύρων τοῦ ναοῦ τῶν ἀντικρὺ τοῦ Καμπαναρείου χέοντες. Ἀλλ' εἰς μάτην ἐκοπιάσαμεν· οὐ γὰρ ἦν δυνατὸν ἡμῖν τὸ ὕδωρ κατὰ τῆς φλογὸς βαλεῖν, οὔτε ἐκ τῶν εἰρημένων παραθύρων τῶν ὑψηλῶν, οὔτε ἐκ τῶν τοῦ ἁγίου βήματος, ὡς εἴρηται, πολλοῦ ὄντος τοῦ διαστήματος. Ἐκράχθησαν οἱ πορταρέοι. Ἀλλὰ πότε ἦλθον καὶ ἤνοιξαν τὴν Ἁγίαν Πόρταν; Μετὰ μίαν ὥραν, ὅτε ἡ φλὸξ κατεκυρίευσε πάντα τὰ τῶν Ἀρμενίων. Ἔπειτα (φεῦ! ὦ Κύριε, φεῖσαι· φεῖσαι, πανοικτῖρμον δέσποτα!), ἔπειτα ὑψώθη καὶ εἰς τὸν κουμπέν, ὃν καὶ πάντα τὸ παμφάγον πῦρ κατέφαγε, καὶ ἀνέβαινεν ἡ φλὸξ ἐκ τοῦ ἀνοικτοῦ μέρους τοσοῦτον πολλὴ καὶ μεγάλη, ὥστε ἔφεγγεν ὅλην τὴν Ἱερουσαλήμ. Κατ' αὐτὸν τὸν καιρὸν κατεκαύθησαν καὶ τὰ λεγόμενα Ῥωμαϊκὰ καὶ Κοπτικά, ὑπὸ τὰ τῶν Ἀρμενίων ὄντα. Διέλυσε πᾶσα ἡ μόλυβδος, καὶ τοῦ μεγάλου κουμπὲ καὶ τοῦ μικροῦ, τοῦ ἐπὶ τοῦ Ζωοδόχου Μνήματος· καὶ ὁ μικρὸς γὰρ κατεκαύθη καὶ ἔφθασε τὸ πῦρ ἕως εἰς τὴν πόρταν τῆς στέρνας καὶ ἕως εἰς τὰς ἀναβάσεις τῆς τῶν Φράγκων συναγωγῆς, καὶ πᾶν τὸ εὑρεθὲν κατηνάλωσεν, εὔπρη-

στον ὄν, τὰς δὲ κολώνας διέρρηξε τὰς κύκλῳ τοῦ Παναγίου Τάφου, τὰς μεγάλας καὶ τὰς μικράς. Αὐτὸ δὲ τὸ πῦρ κόρον μὴ λαβὸν ἄνωθεν τῆς Ἁγίας Πόρτας, κατέκαυσε καὶ αὐτὴν καὶ τὸ κελλίον τοῦ σκευοφύλακος καὶ πάντα τὰ ἐπάνω αὐτοῦ τοῦ κελλίου ξυλικὰ κελλία καὶ τὰ ἐν τῷ ἁγίῳ Γολγοθᾷ καὶ τὰ ἐν τῷ Ἁγίῳ Βήματι, τὸ σκευοφυλάκιον, τὸ μέγα τέμπλον, τὰ ἔξω τέμπλα, τὰ ὑποκάτω τοῦ ὠκοδομητοῦ κουμπὲ τοῦ μεγάλου, τὴν ἁγίαν τράπεζαν, τὴν ἁγίαν πρόθεσιν, τὸ ἱερὸν σύνθρονον καὶ τοὺς δύο θρόνους, τὸν πατριαρχικὸν καὶ τὸν ἀρχιερατικόν. Διέρρηξε τὰς πέριξ τοῦ Ἁγίου Βήματος κολώνας, κατακρημνισθείσης τῆς ἀχιβάδος τῆς ἐπ' αὐτῶν. Κατεκρημνίσθη καὶ τὸ δῶμα τοῦ ναοῦ, τὸ ἐπάνω τῶν Ἀρμενίων· κατέκαυσεν εἰκόνας, ἱερὰς στολάς, κανδήλια ἔτηξε καὶ μανουάλια. Τοσαύτη καὶ τοιαύτη ὑπερβολικὴ ἦν ἐκείνη ἡ φλόξ, ὑπερβαίνουσα ἀσυγκρίτως πολὺ τῆς ἐξακούστου Χαλδαϊκῆς· ἐκείνη γὰρ ἡ Χαλδαϊκὴ ἦν φοβηθεῖσα τὸν συγκαταβάντα τοῖς τρισὶ νεανίσκοις· αὕτη δὲ ἀναιδεστέρα φανεῖσα πολλῷ τῷ μέτρῳ, κατέκαυσε πάντα τὸν θεῖον ναόν, πλὴν τοῦ τῆς Εὑρέσεως καὶ τῶν Κλαπῶν· ταῦτα γὰρ μόνα ἐσώθησαν. Ὁ ἀσεβέστατος καὶ ἀναισχυντότατος καὶ ἀλογώτατος ὀραγομάνος Ἀρμένης ὡμολόγησεν ὅτι, "Ἡμεῖς δὲν τὸ ἠλπίζομεν νὰ ἔλθῃ ὡς τόσον"· καὶ τοῦτο εἶπεν ἔμπροσθεν τοῦ μουφτῆ καί τινων ἰδικῶν μας εἰς τὴν αὐλὴν τοῦ ναοῦ. Ἐμέρισεν ὅμως εἰς τοὺς ἐντοπίους φλωρία πολλά· οἱ γὰρ κρατοῦντες ἔβαλον σκηνὰς εἰς αὐτὴν τὴν αὐλὴν τέσσαρας ἡμέρας καὶ ἐφύλαττον, ἵνα μή τις τι τῶν ἀτόπων ποιῇ ἐν τῷ ναῷ, ἢ ἁρπάσῃ, ἢ κτυπήσῃ, ἢ ἄλλο τι ἐργάσηται· οἱ δὲ χριστιανοὶ καὶ Φράγκοι καὶ Ἀρμένιοι μετετόπισαν τὰς πέτρας καὶ τὰ χώματα ἀπὸ τῶν ἀναγκαιοτέρων τόπων, ἕκαστος ἐν τοῖς ἰδίοις, μέχρι τοῦ Σαββάτου, τῇ γ' ὀκτωβρίου, καθ' ἣν τὸ πρωὶ ἐπεφάνη τὸ Θεῖον Φῶς ὡς μαργαρίτης ἐπὶ τοῦ Παναγίου Τάφου, μέχρι τὸ ἑσπέρας τοῦ αὐτοῦ Σαββάτου ὁραθὲν παρὰ πάντων τῶν εἰσερχομένων εἰς τὸ Θεῖον Ἄντρον· ἐκτίσθη δὲ καὶ ἡ Ἁγία Πόρτα τοῦ ναοῦ μὲ πέτρας παρὰ τῶν Ῥωμαίων διὰ προσταγῆς τῶν ἐγκριτων, τοῦ μουλλᾶ, τοῦ μουφτῆ, τοῦ μουτσελήμη, ὡς ἴδιον αὐτῶν κτῆμα. Καὶ πόρτα νέα

κατέστη ξυλίνη, καὶ αὐτὴ παρὰ τῶν κρατούντων ἐν αὐτῷ τῷ τόπῳ, μικρὰ ὅμως· ἡ δὲ οἰκοδομὴ ἐγένετο πρὸς στήριγμα τῶν κατακεκαυμένων ἀνωφλίων καὶ παραστάθμων, καὶ συνηθροίσθη καὶ τὸ ἀναλυθὲν μολίβιον ἐπάνωθεν τοῦ Ἁγίου Τάφου ἐκ τοῦ μικροῦ κουβουκλίου, ὡς ὄντος καὶ αὐτοῦ τῶν Ῥωμαίων. Ἀφ' οὗ λοιπὸν ἐκλείσθη ἡ νέα Ἁγία Πόρτα, ἐξέλιπον καὶ οἱ φυλάσσοντες, ἤρθησαν καὶ αἱ σκηναί· τὸ δὲ τοῦ μεγάλου κουμπὲ μολίβιον ἥρπασαν ἀκρίτως οἱ Φράγκοι, ὁμοίως καὶ τοὺς ἥλους.

Τῇ κε' φεβρουαρίου ἦλθε διὰ γραφῆς τοῦ νέου πατριάρχου Ἱεροσολύμων, πατριάρχου Πολυκάρπου [εἴδησις], ὅτι ὁ πάλαι Ἱεροσολύμων Ἄνθιμος ἐξέλιπε τὸ ζῆν νοεμβρίου δεκάτῃ καὶ [ὅτι] τῇ αὐτῇ ἡμέρα διεδέξατο τὴν πατριαρχίαν ὁ αὐτὸς κύριος Πολύκαρπος. Ἐν ἔτει ,αωθ', τῇ κε' φεβρουαρίου, ἦλθεν ἡ εἴδησις· ἦν δὲ τὸ γράμμα τῇ ιβ' νοεμβρίου γεγραμμένον.

Ἐν ἔτει ,αωθ', ἰουλίου ιθ', ἔστη ἐπὶ τοῦ πυλῶνος ἡ νέα διπτυχος πύλη τοῦ ναοῦ τῆς τοῦ Κυρίου ἡμῶν Ἀναστάσεως, τὸ πρωὶ τῆς Δευτέρας τῆς ἑβδομάδος, ὥρα σχεδὸν δευτέρα, ἐκ ξύλων ἀσήπτων, μεσὲς τουρκιστὶ λεγομένων, ἑλληνιστὶ φηγός, μῆκος καὶ πλάτος ἴση τῇ κατακαυθείσῃ, ἐργασαμένων αὐτὴν τεκτόνων Ῥωμαίων ἔνδον τοῦ Πατριαρχείου, ἐπιστατούντων τοῦ τε κάλφα Κομνηνοῦ [τοῦ] ἐκ Μυτιλήνης καὶ Δράκοντος πρωτοτέκτονος Ῥοδίου. Περὶ δὲ τῆς πύλης ταύτης ἐγένετο τὴν χθὲς Κυριακήν, καθ' ἣν ἑορτάζομεν ἐφέτος τὴν τῶν χλ' θεοφόρων πατέρων σύνοδον, λογοτριβὴ μεγάλη· οἱ γὰρ νέοι θεοκτόνοι, οἱ Μονοφυσῖτοι, μετὰ τῶν Φράρων (οἵτινες καὶ πόρταν προητοίμασαν διὰ τὸν θεῖον ναόν) κατέβησαν εἰς τὸν Μεχκεμὲν ζητοῦντες εἰς κρίσιν καὶ τοὺς ἡμετέρους, ἔχοντες ἐν χερσὶ τὰ ἑαυτῶν παμπάλαια σενέτια, διαλαμβάνοντα ὅτι οἱ μὲν Ἀρμένιοι νὰ προσκυνῶσιν ἀκωλύτως εἰς τὰ προσκυνήματα, οἱ δὲ Φράροι νὰ ἀνακαινίσωσι μετὰ τοῦ Ἱεροσολύμων Χρυσάνθου τὸν μολιβοσκέπαστον παλαιὸν κουμπέ, τὸν μέγαν τοῦ τῆς Ἀναστάσεως ναοῦ. Οὗτοι ἐζήτουν κρίσιν μετὰ τῶν ἡμετέρων, φάσκοντες αὐτῶν εἶναι τὰ προσκυνήματα Πρὸς γοῦν τὸν μουχζούρην ἀπεκρίθησαν οἱ ἡμέτεροι, ἅπαξ καὶ

ὁὶς ἐλθόντα εἰς προσκάλεσιν αὐτῶν, ὅτι "ἡμεῖς κρίσιν ἐν Ἱερουσαλὴμ οὐκ ἔχομεν· ἰδοὺ ἐν Κωνσταντίνου τὸ βασιλικὸν ντιβάνιον, καὶ ἐκεῖ θεωρεῖται ἡ κρίσις ἡμῶν. Ὅστις οὖν θέλει μεθ' ἡμῶν κρίνεσθαι, ἐκεῖ παρασταθήτω καὶ ἐκεῖ γίνεται ἡ κρίσις". Ταῦτα ἀπεκρίθησαν. Θέλοντες οἱ ταγισμένοι καδδῆδες νὰ διαβάσωσι τὰ σενέτια ἐκεῖνα, ἀντεστάθη ὁ μουτσελήμης λέγων ἐνώπιον πάντων· "Ἂ γκιαούριδες, ἂν ἔχητε ἀπὸ τοῦ νέου σουλτάνου χατ-χουμαΐ περὶ τῶν προσκυνημάτων σας, ἀποδεῖξατε αὐτὸ καὶ ἔσται, ὡς διαλαμβάνει· ἀλλ' ἐπειδὴ οὐκ ἔχετε, λοιπὸν μαζώξατε αὐτὰ τὰ νεκρὰ σενέτια". Καὶ οὕτω μετὰ ὕβρεως ἀνεχώρησαν ἐκεῖθεν· οἱ γὰρ ἡμέτεροι, ὅτε κατεκαύθη ὑπὸ τῶν Θεοπασχιτῶν ὁ θεῖος ναός, μετὰ ὀκτὼ ἡμέρας ἀπέστειλαν εἰς Κωνσταντίνου καὶ γράμματα καὶ ἴλάμι τοῦ μουλλᾶ πρὸς τὸν πατριάρχην κύριον Ἄνθιμον, δηλωτικὰ περὶ τῆς τοῦ ναοῦ πυρπολήσεως, μετὰ τοῦ πρωτοσυγκέλλου Ἰωακεὶμ καὶ τοῦ γέροντος Γαβριήλ. Οἵτινες ἀπὸ τῆς ὀγδόης τοῦ ὀκτωβρίου ἐξελθόντες τῆς Ἱερουσαλὴμ ἔφθασαν εἰς Κωνσταντίνου τῇ ις' νοεμβρίου, καὶ τὸν μὲν πατριάρχην Ἄνθιμον οὐχ εὗρον (ἐτελεύτησε τῇ δεκάτῃ τοῦ αὐτοῦ μηνὸς ἀπὸ τῆς λύπης), τὸν δὲ νέον πατριάρχην Πολύκαρπον, ὡς εἴρηται, εὑρόντες ἐπέδωκαν τὰ συνοδικὰ γράμματα καὶ ἐκ στόματος ἐξήγγειλαν τὰ περὶ τοῦ ναοῦ ἀκριβέστερον, ὡς ἠδύναντο. Εἴπομεν ἀνωτέρω, ὅτι ὁ πατριάρχης κύριος Ἄνθιμος ἐξεψύχησε λύπῃ, ἧς ἡ αἰτία ἦν τοιαύτη. Ὁ Μουσταφᾶ-μπαϊρακτάρης καταστὰς βεζύρης (μετὰ τὸ θανατωθῆναι πνιγμῷ τοὺς δύο σουλτάνους Σελήμην καὶ Μουσταφᾶν) τοῦ νῦν αὐταρχοῦντος σουλτὰν Μαχμούτ· — ἐβασίλευσε δὲ ὁ μὲν Σελὴμ χρόνους δεκαεννέα, ὁ δὲ Μουσταφᾶς χρόνον ἕνα καὶ μῆνας δύο· — οὗτος λέγω ὁ βεζύρης εἶχέ τινα Ἀρμένην οἰκεῖον τοσοῦτον, ὥστε καὶ μπέην ὠνόμασε καὶ εἰς τὰ τῆς Βλαχομπογδανίας μπεηλίκια ἔμελλε νὰ ψηφίσῃ μπέην. Τούτου τοῖς λόγοις καταπεισθεὶς ἔγραψε βασιλικοὺς ὁρισμοὺς διορίζοντας τοῖς Ἀρμενίοις τὰ ἐν Ἱερουσαλὴμ προσκυνήματα καὶ ἐκβάλλοντα ἡμᾶς τε καὶ Φράγους ἐξ αὐτῶν τῶν προσκυνημάτων. Ταῦτα ἀκούσας ὁ πατριάρχης ἔπεσεν ἐκ τῆς λύπης εἰς βαρυτάτην ἀσθένειαν, δι' ἧς καὶ

εὗρε τὸ τέλος τοῦ βίου ἐν τῷ Νεοχωρίῳ τῆς Πόλεως, ἔνθα καὶ ἐτάφη, πατριαρχεύσας χρόνους εἴκοσι καὶ ἡμέρας δεκαέξ, ἐτῶν ὧν πλείω τῶν ὀγδοήκοντα. Καὶ ὁ μὲν οὕτως ἐτελείωσεν, ὁ δὲ βεζύρης ἐπιβουλὰς καθ' ἡμῶν ἐβουλεύετο· καὶ ὅτε ἡτοίμασε τοὺς κατὰ τῶν προσκυνημάτων ὁρισμούς, ἵνα προσφέρῃ τῷ σουλτάνῳ τοῦ κυρῶσαι αὐτοὺς ἰδίᾳ χειρί, ὡς εἴθισται, τότε ἐξῆλθε λαλιὰ εἰς τὰ ὦτα τοῦ σουλτάνου, ὅτι ὁ βεζύρης ράπτει δόλους κατὰ τῆς οἰκείας ζωῆς, διὰ νὰ στήσῃ ἐπὶ τὸν θρόνον τῆς βασιλείας τὸν Ῥουτζουκλῆν Μουσταφᾶν. Ἅπερ μαθὼν ὁ σουλτάνος κατέφυγεν εἰς τοὺς Γεννιτζάρους, οἵτινες ἔδωκαν τὸν Μουσταφᾶν τῷ πυρὶ νοεμβρίου γ' κατεκαύθησαν δὲ καὶ οἱ ὁρισμοί, ὥσπερ κατεκαύθη καὶ ἐν τῷ θείῳ ναῷ μόνος ὁ ἡγούμενος τῶν Ἀρμενίων μὲ τὸν γάτον του. Ὁ δὲ Μανούκης φυγὰς ἔτρεξεν εἰς Βλαχίαν, ἐκεῖθεν εἰς Ῥωσίαν, ἐκεῖθεν εἰς τὸ Σιμπίρι, καὶ οὕτως ἔλαβον πέρας αἱ κατὰ τῶν προσκυνημάτων ἐπιβουλαὶ τότε. Ὁ δὲ Ἰωακεὶμ σὺν τῷ Γαβριὴλ ἔφθασαν εἰς Κωνσταντίνου τῇ ις' νοεμβρίου καὶ ἐκήρυξαν τρανῶς εἰς πάντας τοὺς χριστιανοὺς τὴν πυρπόλησιν τοῦ ναοῦ· οἵτινες ὁμοθυμαδὸν μετὰ πικρῶν δακρύων ἐφώνησαν, ὅτι "ἅπαντες καὶ τὸ ὑποκάμισον πωλοῦμεν, ἀλλὰ τὸν θεῖον ναὸν καταστῆσαι οὕτως ἔρημον οὐχ ὑποφέρομεν". Καὶ οὕτως ἐγένετο γνώμη κοινή, ἵνα ἕκαστος τὸν δυνατὸν τρόπον βοηθήσῃ εἰς τὴν τούτου ἀνακαίνισιν. Ὅρα τὸ συνοδικὸν διὰ τύπου ἐκδοθὲν ἐπὶ τοῦ οἰκουμενικοῦ κυροῦ Καλλινίκου καὶ τὸ αὐτοῦ ἐξαρχικόν, διορίζοντα εἴς τε τοὺς κατὰ τόπον ἀρχιερεῖς καὶ πάντας τοὺς χριστιανοὺς τοὺς ὑπὸ τὸν οἰκουμενικὸν διὰ καλογήρων Ἁγιοταφιτῶν τοῦ δοῦναι δαψιλῆ ἐλεημοσύνην εἰς ἀνακαίνισιν τοῦ ναοῦ [1]. Καὶ ταῦτα μὲν ἐγένετο οὕτως, ἀπο-

[1] Τὸ συνοδικὸν τοῦτο γράμμα τύποις ἐξεδόθη εἰς μέγα φύλλον, οὗ τὸ κείμενον ὀίστηλον· τὸ αὐτὸ καὶ τουρκιστί· ἀλλὰ καὶ ἕτερον γράμμα πρὸς τοὺς κατοίκους Κωνσταντινουπόλεως ἐξεδόθη τύποις ωσαύτως ἐν ἑνὶ μεγάλῳ φύλλῳ ἔτει 1808-ῳ. Τοῦ δὲ κοινοῦ συνοδικοῦ γράμματος ἐγένετο καὶ μετατύπωσις διπλῆ εἰς βιβλιάριον 4-ου σχήματος, ἑλληνικὴ καὶ τουρκική. Τῆς ἑλληνικῆς ἐκδόσεως ἡ ἐπιγραφή: Παράφρασις εἰς τὸ ἁπλούστερον τοῦ πατριαρχικοῦ καὶ συνοδικοῦ γράμματος πρὸς ἀνάγνωσιν καὶ προτροπὴν τῶν ἁπανταχοῦ ὀρθοδόξων χριστιανῶν, ὅπερ ἐξέδωκεν ὁ παναγιώτατος, θειότατος καὶ οἰκουμενικὸς πατριάρχης κύριος κύριος Καλλίνικος πρὸς τοὺς ἐν Κωνσταντινουπόλε

σταλέντων τῶν καλογήρων· προσδραμόντες δὲ καὶ πρὸς τὸν ὑψηλότατον σουλτάνον ἐζήτησαν χατ-χουμαὶ διὰ τοῦ φιλοχρίστου αὐθεντου κυρίου Ἀλεξάνδρου Μουρούζη καὶ τοῦ ἐνδοξοτάτου μεγάλου δραγομάνου τῆς Πόρτας κυρίου Δημητρίου, αὐταδέλφου αὐτῶ· καὶ δόντες ἀρζιχάλιν ἐπέτυχον εὐμενείας θείω ἐλέει καὶ ἔλαβον τὸ χατ-σερίφ, διαλαμβάνον πάντα τὰ ἐν Ἱερουσαλὴμ καὶ ἐκτός, ἐκκλησίας μοναστήρια καὶ προσκυνήματα, ὅτι εἰσὶ τῶν Ῥωμαίων, διορίζον [ἔτι] τοὺς Ῥωμαίους ὡς οἰκοκυρίους, ἵνα ἀνοικοδομήσωσι τὸν πυρποληθέντα ναὸν ἅπαντα. Ὃν ὁρισμὸν παραλαβὼν χοζακιάνης τις μετὰ τοῦ ρηθέντος κὺρ Ἰωακεὶμ διὰ ξηρᾶς ἦλθον εἰ Ἱερουσαλὴμ τῇ πέμπτῃ τοῦ ἤδη τρέχοντος μαΐου, καὶ μετὰ πολλοῦ κόπου καὶ ἐξόδων πρός τε τὸν μουλλᾶν καὶ τοὺς περὶ αὐτὸν καὶ μουφτῆν, ὁμοίως καὶ τὸν μουτσελήμην, ἐπέκεινα τῶν τριακοσίων πεντήκοντα πουγγείων γροσίων ἄχρι τῆς σήμερον, ἦλθε τὸ ἔργον τοῦτο εἰς τοιαύτην μόρφωσιν, ἤγουν ἐτεκτονήθη ἡ δίπτυχος πύλη καὶ κατέστη ὅπου ἦν καταφλεχθεῖσα, δύο ὀργυιὰς τὸ πλάτος καὶ τρεῖς τὸ ὕψος. Ἀλλὰ τὴν αὐτὴν ὥραν, καθ' ἣν αὐτὴν τὴν πύλην ἐτέκταινον οἱ τέκτονες, ὡς εἴρηται, καὶ ἐγγὺς [ἦσαν] τοῦ τελειῶσαι, ἰδοὺ τῇ πέμπτῃ καὶ ἡμισεία ὥρα τῆς ἡμέρας διήγειραν Φράροι καὶ Ἀρμένιοι τοὺς κρατοῦντας, μουφτῆν καὶ μουλλᾶν, καὶ ἐκίνησαν διωγμὸν καθ' ἡμῶν διὰ τῶν λεγομένων Ζαχίλιδων Τούρκων, εἰσελθόντων ἔνδον τοῦ ναοῦ καὶ τουφέκι καὶ μάχαιραν ἐκτεινάντων κατά τε τοῦ χοζακιὰν καὶ τοῦ πρωτοσπαθαρίου τοῦ ἡγεμόνος τῆς Δαμασκοῦ, ὅστις σιλιχτάρης ἀπεστάλη ἐκεῖθεν ἐπ' αὐτῶ τούτω, πρὸς φύλαξιν ἀπὸ τῆς τῶν ἐντοπίων ἀταξίας. Οἵτι-

καὶ ἀπανταχοῦ εὐσεβεῖς καὶ ὀρθοδόξους χριστιανούς, διαγράφων τὴν ἐπισυμβᾶσαν ἐν τῶ ναῶ τοῦ Ἁγίου Τάφου πυρκαϊάν, καὶ πανσόφως προτρεπων ἅπαντας εἰς ζῆλον καὶ προθυμίαν τῆς τούτου ἀνοικοδομῆς καὶ ἀνακτίσεως· νῦν πρῶτον τύποις ἐκδοθεῖσα δι' ἐπιμελείας καὶ προτροπῆς τοῦ πανοσιολογιωτάτου ἁγίου Ἀρχιμανδρίτου τοῦ πανα-γίου καὶ ζωοδόχου Τάφου κυρίου Καισαρίου Βυζαντίου. Ἐν τῶ τοῦ Πατριαρχείου Κωνσταντινουπόλεως τυπογραφείω· ἔτει ,αωθ'. 1809. Σελίδες 40 σχήματος 4-ου. Τῶν ἐκδόσεων τούτων αντίτυπα ἔχει τὸ πατριαρχεῖον τῆς Ἱερουσαλὴμ ἔν τε τοῖς ἀρχείοις καὶ ἐν ταῖς βιβλιοθήκαις αὐτοῦ. Πρβλ. Βρετοῦ, Νεοελλ. Φιλολογ. Ι, σ. 154. Π. Λάμπρου, Κατάλογος β' σπανίων βιβλίων. Ἀθήνησι 1864, σ. 50-51. Β. Μυστακίδου, Ἱστορικαὶ εἰδήσεις περὶ Κουρουτσεσμέ. Ἐν Ἀθήναις 1888, σ. 37 καὶ 100.

νες χοζακιὰν καὶ σιλιχτάρης ὥρμησαν εἰς τὸ νὰ καβαλλικεύσωσι καὶ νὰ τρέξωσι πρὸς τὸν ἡγεμόνα κατὰ τὴν Δαμασκόν· ἀλλ' ἐκωλύθησαν διὰ τοῦ μουφτῆ, παρακαλοῦντος αὐτοὺς τοῦ ἀποχωρῆσαι ἀπὸ τῆς Ἱερουσαλὴμ καὶ καταπαῦσαι τὸ ἔργον· ὁμοίως καὶ πάντες οἱ Γεννίτζαροι παρεκάλεσαν. Ἀπέστειλαν ἔτι οἱ εὐλογημένοι ἐν τῇ Πόλει χριστιανοὶ καὶ οἱ πατριάρχαι, ὅ τε οἰκουμενικὸς κύριος Καλλίνικος καὶ ὁ Ἱεροσολύμων κύριος Πολύκαρπος, καὶ τεχνίτας τοῦ μεγίστου ἔργου, τόν τε βασιλικὸν κάλφαν τζελεπῆ-Κομνηνὸν καὶ τὸν χατζῆ-Δράκοντα Ῥόδιον καὶ ἄλλους οἰκοδόμους τέκτονας καὶ λιθοξέστας, καὶ μετ' αὐτῶν ξύλα διὰ σκαλωσίας καὶ σίδηρον καὶ ἄλλα ἐργαλεῖα ἁρμόδια διὰ τὴν τοιαύτην οἰκοδομήν, καὶ ἱερὰ ἄμφια. Ταῦτα ὅμως μετὰ τῶν περιεχόντων αὐτὰ σεντουκίων ἐκράτησε φυλακίσας ὁ ἐν Ἰόππῃ κουμερκιάρης, ζητῶν ἀσυνήθως ἀνοῖξαι. Ὅθεν καὶ μέχρι τῆς σήμερον τρεῖς μῆνας καὶ ἐπέκεινα ἔχει κεκρατημένα· τὰ δὲ λοιπὰ ἅπαντα ἐκομίσθησαν εἰς Ἱερουσαλὴμ ἀσφαλῶς.

Τῇ δὲ εἰκοστῇ ἕκτῃ τοῦ Ἰουλίου, ἡμέρᾳ Δευτέρᾳ, ἤρξαντο οἱ μαΐστορες ἐργάζεσθαι ἐν τῷ θείῳ ἔργῳ, ἀρξάμενοι ἀπὸ τοῦ Ἁγίου Βήματος, ἐπειδὴ ἐκωλύθησαν ἀπὸ τῆς Ἁγίας Πόρτας διὰ Ζαχίλιδων Τούρκων, κινουμένων ὑπὸ τοῦ μουφτῆ εἰς τοῦτο, διὰ πολλῶν χρημάτων διεγερθέντος τοῖς κακίστοις Τζιφούτισι, ἤτοι Ἀρμενίοις. Ὅλην λοιπὸν τὴν ἡμέραν τῆς Δευτέρας ηὐτρέπισαν καὶ ἀνέστησαν τὰς σκαλωσίας μέχρις ἐπάνω τῆς μεγάλης καμάρας, ἔνθα τὰ τρία κυκλοειδῆ παραθύρια· ὁμοίως καὶ τὴν ἡμέραν τῆς Τρίτης, καὶ οὕτως ἤρξαντο οἱ μαστόροι νὰ χαλῶσιν ἄνωθεν· τήν τε Τετράδα Πέμπτην τε καὶ Παρασκευὴν κατεκρήμνισαν ὅλον τὸν μύακα, κατέσπασαν καὶ τὰς κολώνας καὶ τὰ τοξοειδῆ σκαλούνια τὰ πέριξ τοῦ ἱεροῦ συνθρόνου, καὶ ἀφῆκαν μόνον δύο, τὰ κατωτάτω τοξοειδῆ. Ἔστησαν δὲ σκαλωσίας ἄλλας κύκλῳ τοῦ ναοῦ ἀπὸ τοῦ Ἁγίου Βήματος τὸ Σάββατον τῇ λα' Ἰουλίου· ἡτοίμασαν ξυστοὺς λίθους· ἀλλ' ὁ ἐπιτροπικὸς μουτεβελῆς, μὴ λαβὼν παρ' ἡμῶν χρήματα ὅσα ἤθελεν, ἐβράδυνε τὸν καιρὸν τῷ πρωὶ τῆς ιβ' ὥρας, καὶ τῇ ιβ' ἔστειλεν ἄνθρωπόν του καὶ οὕτως ἤνοιξαν

τὴν Ἁγίαν Πόρταν, καὶ εὐθὺς ἐν τῷ εἰσέρχεσθαι τοὺς μαστόρους συνεμίγη αὐτοῖς ὁ παραδραγομάνος Ἀρμένης, ἀμπώθων καὶ ἀμπωθούμενος. Ὅθεν ἐφώναξε δυνατὰ τοῖς Τούρκοις, ὅτι τὸν ἄμπωσαν οἱ μαστόροι καὶ ἐζήτει κρίσιν. Γενομένης οὖν ἀκριβοῦς ἐρεύνης εὑρέθη μάταιος ὁ μάταιος· ἀλλὰ τῇ αὐτῇ ἡμέρᾳ καὶ ὥρᾳ ἕκτῃ ἑβδόμῃ καὶ ὀγδόῃ ἠνώθησαν οἱ Ἀρμένιοι τοῖς Φράγκοις διὰ τὴν μετακίνησιν τῶν λίθων. Οἱ μὲν Ἀρμένιοι ἐφώναζον· "διατι εἰς το Διεμερισαντο τὰ ἱμάτιά μου ἐβάλετε οἱ Ῥωμαῖοι [τινὰς] τῶν κρημνισθέντων λίθων"; οἱ δὲ Φράγκοι "διατί νὰ μεταφέρητε τοὺς λίθους ὄπισθεν τοῦ Ἁγιου Βήματος. ἀπ' ἔμπροσθεν τοῦ Ἁγίου Κουβουκλίου, καὶ τίθεσθε τούτους καταγῆς, ἔνθα τὰ κάγκελλα"; Καὶ οὕτω διηρέθησαν οἱ διασαξίδες, οἱ μὲν διαυθεντεύοντες τοὺς Ῥωμαίους, οἱ δὲ τοὺς Φραγκαρμενίους, καὶ ἐξεσπάθωσαν εἰς τὸ ἀναμεταξύ των· οἱ δὲ χριστιανοὶ οἱ εὑρεθέντες ἡτοιμάσθησαν εἰς πόλεμον μὲ πέτρας, μὲ ἐργαλεῖα τεκτονικὰ καὶ ξύλα. Χάριτι ὅμως θεία οὐδεὶς ἔτυφε, οὐδὲ ἐπλήγη, ἀλλὰ σχολάσαντες τῇ ὀγδόῃ καὶ ἡμισεία ὥρᾳ ἐξῆλθον τοῦ ναοῦ ἀβλαβεῖς.

Τῇ α' τοῦ αὐγούστου μηνὸς εἰς χριστιανὸς ἀπῆρχετο εἰς τὴν αὐτοῦ ὑπηρεσίαν διὰ τοῦ Μαχαλὰ τοῦ Ἀρμενικοῦ καὶ ἔτυχον ἐκεῖσε, Ἀρμένιοι, καὶ κακῶς μετὰ πληγῶν ἐξ αὐτῶν ἀνεχώρησε· καὶ ἀπελθὼν εἰς τὸν μουτσελήμην προσκλαιόμενος, ἐζητήθη μάρτυρας· καὶ ὡς μὴ ἔχων, ἁπάντων ὄντων Ἀρμενίων, ἀπεβλήθη. Ἄλλος δὲ χριστιανὸς μετὰ φορτίου ἐπὶ τῆς ὄνου διερχόμενος καὶ αὐτὸς ἐκεῖθεν καὶ ἰδὼν ὡς μέλλει πληγῆναι ὑπὸ τῶν Ἀρμενίων, ἀφεὶς τὸ ὑποζύγιον μετὰ τοῦ φορτίου ἔφυγε, καὶ οὕτως εὐλύτωσε τὰς πληγάς· εἰς δὲ τῶν Τούρκων ἀπελθὼν ἠλευθέρωσε τὸ ὑποζύγιον μετὰ τοῦ φορτίου. Τῇ δὲ δευτέρᾳ τοῦ αὐγούστου καὶ δευτέρᾳ τῆς ἑβδομάδος μελλόντων τῶν μαστόρων εἰσελθεῖν εἰς τὸν ναόν, ἵνα ποιήσωσιν ἀρχὴν τῆς οἰκοδομῆς, ὁ μουτεβελῆς οὐκ ἦλθεν, ὡς σύνηθες, εἰς τὸ ἄνοιγμα τῆς Ἁγίας Πόρτας· ὕστερον ὅμως μετὰ τὴν πρώτην ὥραν ἔδωκεν ἄδειαν νὰ ἀνοιχθῇ· ἀλλ' ἐπειδὴ οἱ Ἀρμένιοι ἔβαλον Τούρκους καὶ αὐτοὶ οἱ ἴδιοι ὡς παράτολμοι νὰ κτυπήσωσι τὸν κάλφαν ἢ καὶ ἄλλον τινά, ὃν ἤθελον τύχωσι· καὶ

τοῦτο τοῦ χάριν; ἵνα εὕρωσιν ἀφορμήν· ὅταν γὰρ ἐκεῖνοι ἤθελον κτυπήσῃ τινὰ τῶν ἡμετέρων, ἀνάγκη καὶ οἱ ἡμέτεροι νὰ ἀντικτυπήσωσι καὶ οὕτω νὰ ἀκολουθήσῃ φόνος, καὶ τότε νὰ ἐπιλάβηται ἀφορμῆς ὅθεν εὐλόγου ὁ μουφτῆς καὶ νὰ ἐμποδίσῃ τὸ ἔργον, λέγων "ὁ βασιλεὺς ἀπέστειλεν ὁρισμὸν νὰ κτισθῇ ὁ ναός, οὐχὶ νὰ φονευητε". Καὶ καθημερούσιον πάντα κάλων, τὸ τοῦ λόγου, κινοῦσιν Ἀρμένιοι καὶ Φράγκοι, ὥστε νὰ κτυπήσωμέν τινα ἐξ αὐτῶν. Ὁ Θεὸς ὅμως, πρὸς ὃν καὶ μόνον ἔχομεν τὴν ἐλπίδα, ἐλυτρώσατο ἡμᾶς καὶ [ἐβοήθησεν, ὥστε] ἄξαι τὸ θεῖον ἔργον εἰς τέλος καλόν. Λοιπὸν δὲν ἐτολμήσαμεν ἀπὸ τοῦ φόβου νὰ ἀνοίξωμεν καὶ νὰ δουλεύσωμεν τὸ δεύτερον, ἵνα μή τι, ὃ μὴ γένοιτο, γένηται.

Σήμερον τῇ Τρίτῃ ἡμέρᾳ καὶ πέμπτῃ ὥρᾳ ἤνοιξεν ἡ Ἁγία Πόρτα καὶ εἰσῆλθον μόνοι οἱ τέκτονες καὶ ἐργάται εἰς τὸ ἐργάζεσθαι, κατὰ τὴν ἀπόφασιν τοῦ μουτσελήμη καὶ μουφτῆ, παρόντων εἰς τὸ Πραιτώριον καὶ τῶν τριῶν ἑρμηνευτῶν, ἵνα μή τις τῶν ἄλλων φυλῶν εἰσέλθῃ, πλὴν τῶν ἐργαζομένων τὸ ἔργον, καὶ ὅστις τῶν ἀπάντων ἐνοχλήσει, [θέλει] παιδεύεσθαι πρὸς τοῦ μουτσελήμη.

Τῇ δὲ τετάρτῃ τοῦ μηνὸς καὶ τῆς ἑβδομάδος, ὥρᾳ δεκάτῃ, τῷ πρωὶ πρὸ τοῦ ἡλίου, κατέβησαν οἱ τέσσαρες ἀρχιερεῖς, ὅ τε ἐπίτροπος, ὁ Λύδδης, ὁ Νεαπόλεως καὶ ὁ Θαβώρ, καὶ ἔπηξαν τέσσαρας σταυροὺς μολυβδίνους εἰς τὰς τέσσαρας τετραγώνους κιστὰς κολώνας ἐν τοῖς αὐτῶν θεμελίοις, καὶ ἐδιάβασαν τὴν ἐπὶ θεμελίου τῆς ἐκκλησίας εὐχήν, κατὰ τὸν τύπον, καὶ οὕτως ἐγένετο ἀρχὴ τοῦ κτίζειν ἀπὸ τοῦ Ἁγίου Βήματος, δηλαδὴ τὸν μύακα αὐτοῦ. Διῆλθον δὲ ἀπὸ τῆς λ' σεπτεμβρίου, καθ' ἣν ἐπυρπολήθη ὁ ναός, μέχρι τῆς αὐτῆς τετράδος τοῦ αὐγούστου ἡμέραι τθ'.

Τῇ ιγ' τοῦ αὐτοῦ αὐγούστου ἀνεβιβάσθησαν, ἐλευθερωθέντα τῆς ἐν Ἰόππῃ φυλακῆς, τὰ ὅσα - - - ἦσαν κεκρατημένα εἰς Ἱερουσαλήμ, μετὰ τὸ ἐμπλησθῆναι τὸ ἀκόρεστον χρημάτων τοῦ τε ἐν Ἰόππῃ κουμερκιάρη καὶ Σελήμ-πασα ἐν Ἀκῇ, χωρὶς ὅμως ἀνοιχθῆναι αὐτά. Τῇ δ' τοῦ σεπτεμβρίου, ἡμέρᾳ Σαββάτου, ἀνωκοδο-

μήθησαν εἰς ἡμέρας εἰκοσιὲξ οἱ δύο τοῖχοι τοῦ Καθολικοῦ, ἀπὸ τῆς προθέσεως μέχρι τοῦ ἀρχιερατικοῦ θρόνου, καὶ ἀπὸ τοῦ ἀντικρὺ ταύτης ποτὲ σκευοφυλακίου μέχρι τοῦ πατριαρχικοῦ [θρόνου], περιέχοντες καὶ τὰς δύο πύλας καὶ τὴν μικρὰν πύλην τὴν φέρουσαν εἰς τὸν ἅγιον Γολγοθᾶν, καὶ ὁ τοῖχος τοῦ ἁγίου Γολγοθᾶ ἀπὸ κάτωθεν ἕως ἄνω εἰς τὴν στέγην· καὶ ἡ ἐν αὐτῷ ἠνοίχθη πύλη ἀντὶ τῆς παλαιᾶς καὶ τρία θυρίδια, τὰ δύο παρ' ἑκάτερα καὶ τὸ ἓν ἄνω τῆς πύλης ὡσειδές. Ἐξετάθησαν καὶ σίδηρα ἀπὸ τῆς πλευρᾶς τοῦ αὐτοῦ τοίχου μέχρι τοῦ τοίχου τοῦ Καθολικοῦ, καὶ ὑπεράνω αὐτῶν ἕτερα. Ὁμοίως ἐνεουργήθη καὶ καμάρα ἀπὸ μέρους τῆς ἀριστερᾶς στήλης τῶν τεσσάρων στηλῶν μέχρι τοῦ μεγάλου τοίχου τοῦ ναοῦ, καὶ αἱ τέσσαρες στῆλαι αἱ τετραγωνοειδεῖς, ἅπαντα στερεά, συνδεδεμένα διὰ σιδήρων καὶ μολύβδων, διὰ λίθου πελεκητοῦ λευκοῦ, μέλεκι καλουμένου, ἐκβαλλομένου ἀπό τε τοῦ μέρους ἔνθα ἐπριονίσθη ὁ προφήτης Ἡσαΐας κατὰ τὴν Σιλωάμ, ἀπό τε τῆς ἁγίας Βηθλεέμ, Ἀρτάσι τε καὶ Θεκουέ, καὶ ἐκκοπτομένου ἀπό τε τοῦ μέρους, ἔνθα τὸ τοῦ προφήτου Ἠλιοῦ μοναστήριον, καὶ ἀπὸ τοῦ κάμπου τοῦ κατὰ τὴν ὁδὸν τὴν πρὸς τὸ μοναστήριον τοῦ Σταυροῦ. Οὗτος δὲ ὁ λίθος κοκκινοειδὴς καὶ σκληρὸς πάνυ καὶ λευκοειδής ἐστι, μὶζ ἀραβιστὶ καλούμενος, ὁ ἀπὸ τοῦ Προφήτου Ἠλιοῦ καὶ τοῦ Σταυροῦ· οἱ δὲ ἄλλοι [λίθοι] καὶ ὁ λατομηθεὶς ἀπὸ τῶν Νταραζὰτ μέλεκι [καλεῖται], ἀγορασθέντος ὅλου τοῦ πετροκοπείου ἀπό τινος Καλελὶ διὰ γρόσια 250 μὲ χουζέτιον.

Τῇ ς' σεπτεμβρίου συν Θεῷ ἀρχὴ τῶν καμαρῶν. Τῇ ζ' σεπτεμβρίου συνεχύθησαν οἱ Ἀρμένιοι λέγοντες "μὴ κτίσητε ἐπάνω τοῦ Διεμερίσαντο τὰ ἱμάτια παρακλησίου ἄνευ ἀδείας τοῦ μοναστηρίου μας". Κατέβη λοιπὸν ὁ χοζακιάνης εἰς τὸν μουλλᾶν ἐκεῖ προσκλαιόμενος· κατῆλθε δὲ καὶ ὁ δραγομάνος τῶν Ἀρμενίων προσκαλεσθείς, ὃν ὁ χοζακιάνης πολλὰ ἐκπλύνας ταῖς ὕβρεσιν [εἶχε καὶ] μετὰ κρίσεως ἀνεχώρησεν ὁ Ἀβεντίκης ἄπρακτος. Τῇ δ' αὐτῇ ἡμέρα, ὥρα ζ', ἦλθον δύο Τάταροι καὶ εἰς Ἀρμένης ἐκ τῆς Ἰόππης πρὸς τὸ ἀρμένικον [μοναστήριον]· τὴν δ' αἰτίαν οὔπω

οἴδαμεν· ἔγνωμεν δέ, ὅτι χατζῆδες ἦσαν τεπτῆλι. Τῇ η' σεπτεμβρίου, προσκλαυθέντων τῶν Ἀρμενίων εἰς τὴν κρίσιν, ἐζητήθη ὁ κάλφα Κομνηνὸς καὶ ἀποκριθεὶς τὰ δέοντα ἐπέστρεψεν εἰρηνικῶς. Ἰωβάνος δέ τις σαράφης ὀρθόδοξος κραχθεὶς εἰς τὸ Ἀρμένικον μετὰ τοῦ σιλικτάρη ὑπ' αὐτοῦ τοῦ σιλικτάρη, ἐξ Ἀρμενίων ὄντος, καὶ φιλευθεὶς τῇ ζ' τοῦ σεπτεμβρίου, τῇ η' ἐπὶ τῆς λογομαχίας περὶ τῆς καμάρας, ὡς εἴρηται, πρῶτος καὶ μόνος ὑπέσχετο, ὅτι τὸ κανδήλιον τῶν Ἀρμενίων αὐταῖς ἰδίαις χερσὶ νὰ κρεμάσῃ ὑπὸ τὴν νέαν γενομένην καμάραν καὶ ἐγγράφως νὰ πιστοποιήσῃ αὐτούς, οὐ μόνον δὲ [τοῦτο], ἀλλὰ καὶ διὰ χουζετίου τῆς κρίσεως. Οὕτω γελάσας αὐτοὺς ἡσύχασαν.

Τῇ ιη', ἡμέρα Σαββάτου, ἐσκεπάσθησαν αἱ καμάραι, καὶ τῇ κ' τοῦ αὐτοῦ, ἡμέρα β', ἤρξατο ἡ οἰκοδομὴ τοῦ μύακος, ἤτοι τῆς ἀχιβάδας ἐπὶ τῶν καμαρῶν, ἐφ' ὧν τέσσαρες ὡοειδεῖς πέτραι κατὰ πρόσωπον ἐστηλώθησαν εἰς τύπον τῶν τεσσάρων Εὐαγγελιστῶν.

Προχθὲς τῇ ιη' τοῦ σεπτεμβρίου, ἡμέρα, ὡς εἴρηται, Σαββάτου, συνήχθησαν ἐν τῇ ἁγία Σιὼν οἱ ἀγιάνιδες τῆς Ἱερουσαλὴμ καὶ ὁ τοῦ Ἀπουγὸς Ὠτμάνης, καὶ ἐδιάβασαν τὴν φέτχαν καὶ συνέθεντο, εἰ καὶ μὴ πάντες, ἵνα ἀποστατήσωσι τοῦ τανῦν ἐνσκηνοῦντος κατὰ τὸ Ζηνὶν ἡγεμόνος Ἰωσήφ-πασα, μετὰ τὴν θανὴν δηλαδὴ τοῦ μουφτῆ. Ἀλλ' ἐπειδὴ καὶ ἐγνώσθη τὸ πρᾶγμα τῷ μουτσελήμῃ καὶ σιλιχτάρῃ καὶ πολλοὶ τῶν προυχόντων, ὡς ὁ μουλᾶς καὶ νακὴπ καὶ ἄλλοι, οὐκ ἔστερξαν τὴν τοιαύτην ἀποστασίαν, ἠβουλήθη ὁ Ἀπουγὸς νὰ ἀπέλθῃ μὲ φελλάχιδες εἰς τὴν πύλην καὶ νὰ κρατήσῃ αὐτῆς. Ὅθεν ἐκλείσθησαν αἱ πύλαι τοῦ κάστρου καὶ ἐνεποδίσθη τὸ ἔργον τῆς ἀποστασίας. Ὅθεν μὲ ἀμὰν καὶ ῥέγι ὁ μουτσελήμης καὶ ὁ σιλιχτάρης καὶ οἱ μὴ θέλοντες ἐντόπιοι τὴν ἀποστασίαν ἔκραξαν ἐν τῇ Σιὼν τῇ Κυριακῇ, τῇ ιθ' τοῦ σεπτεμβρίου, τὸν Ἀπουγὸς καὶ εἰρήνευσαν καὶ κατέπαυσαν τὸ προμελετούμενον μετὰ τὸν ἀποθανόντα μουφτῆν, τὰ τῆς ἀποστασίας· ὁ γὰρ μουφτῆς καὶ ὁ Ἀπουγὸς ὑπέσχοντο τοῖς Φραγκοαρμενίοις ἀποτελέσαι τοῦτο, ἵνα μὴ ἐλθὼν ὁ ἡγεμὼν φοβίσῃ τοὺς

ἐντοπίους Τούρκους τοῦ κωλῦσαι ἡμᾶς τοῦ θείου ἔργου τῆς οἰκοδομῆς ἐν Ἱερουσαλήμ· οἵτινες Ἀρμενοφράγκοι ἔδωκαν ὑπόσχεσιν νὰ δώσωσι τῷ μουφτῇ, Ἀπουγὸς καὶ ἐντοπίοις, ἕως γρόσια διακοσίας πεντήκοντα χιλιάδας· ὅσα εἶχον, νὰ δώσωσι τῷ ἡγεμόνι· ἀλλὰ καὶ αὕτη ἡ βουλὴ θεία ἐνεργεία μεματαίωται.

Τῇ κ' σεπτεμβρίου ἐτέθησαν ἐκ λίθου ἐρυθροῦ τρεῖς σταυροὶ ἐπὶ τῶν πέντε καμαρῶν εἰς τύπον τῶν τριῶν σταυρῶν τοῦ μεγάλου Κωνσταντίνου· Ἰησοῦς Χριστὸς νικητής. Τῇ κα' σεπτεμβρίου ἐπληρώθησαν ἡμέραι τεσσαράκοντα· ἐν ᾗ ἐτέθησαν καὶ δύο πέτραι ἐν τοῖς δυσὶ μέρεσι τῆς ἄκρας τῆς ἀχιβάδος, εἰς ἱστορίαν δύο Ἀρχαγγέλων.

Τῇ Πεντηκοστῇ ἀπὸ τῆς ἀρχῆς τοῦ θεμελίου καὶ πρώτῃ ὀκτωβρίου, ἡμέρα ς', ἤρξαντο οἰκοδομεῖσθαι τὰ πέντε παραθύρια κατὰ τὴν ἀχιβάδα. Τῇ ζ' τοῦ ὀκτωβρίου ἦλθον οἱ μαστόροι εἰς τὴν Ἰόππην. Τῇ η' ἦλθεν ἀπὸ τῆς Πόλεως καὶ ὁ καμαράσης Μητροφάνης. Τῇ θ' τοῦ αὐτοῦ, ἡμέρα Πέμπτῃ τῆς ἑβδομάδος, ὥρα δ'. ἦλθεν εἰς Ἱερουσαλὴμ ὁ ἡγεμὼν Ἰωσήφ-πασας μετὰ παρατάξεως πολλῆς.

Τῇ ιδ' ὀκτωβρίου [ἤρξατο] ἀνακομίζεσθαι διὰ καμήλων ἀπὸ τῆς Ἰόππης εἰς Ἱερουσαλὴμ μόλιβος, μάρμαρα, σανίδες, τὰ ἀπὸ τῆς Βασιλευούσης σταλέντα, τὸ πλείονα ὅμως συντετριμμένα, τὰ μάρμαρα, ἀπὸ δυστροπίας τῶν καμηλιτῶν. Τῇ ιε' ἔστη ξύλινος περίβολος κύκλῳ τοῦ Ἱεροῦ Κουβουκλίου, προσμενόντων ἡμῶν εἰς ἀνοικοδόμησιν αὐτοῦ τὸν νέον ὁρισμὸν τοῦ ἡγεμόνος, ὑποσχεθέντος αὐτῇ τῇ ἡμέρᾳ δοῦναι, ἕως οὗ δηλαδὴ λήψεται ὁ ἡγεμὼν καὶ ἐκ τῶν Φράρων ἅπερ ἀπαιτεῖ ἀργύρια. Τῇ αὐτῇ ἡμέρᾳ ἐδόθη ὁ τοῦ ἡγεμόνος ὁρισμὸς ἡμῖν. Ὅθεν τῇ ις' τοῦ ἁγίου Λογγίνου, ἡμέρα Σαββάτῳ, ἀνωρθώθησαν αἱ σκαλωσίαι διὰ προσταγῆς τοῦ ἡγεμόνος, ἀποστείλαντος τόν τε χοζακιάνην καὶ τὸν σιλιχτάρην ἔνδον τοῦ ναοῦ· οἵτινες ἐφώνησαν τούς τε Ἀρμενίους καὶ Φράγκους, παραγγείλαντες αὐτοῖς ἵνα ἀποβάλωσιν ἐκ τοῦ Παναγίου Κουβουκλίου οἱ μὲν Φράγκοι τάς τε ποδέας εἰκόνας καὶ κανδήλια καὶ τενεκέδες καὶ ντουλάπιον, οἱ δὲ τὴν εἰκόνα καὶ κανδήλια· ἀλλ'

οἱ μὲν Φράροι εἶπον, ὅτι ἐκεῖνοι ὁποῦ ταῦτα ἐκεῖ ἔθεντο εἰσὶν οἱ ἐλτζῆδες, οἱ δὲ Ἀρμένιοι ὅτι "προσταγὴν ἐκ τοῦ μοναστηρίου μας οὐκ ἔχομεν, ἵνα ταύτας ἐκβάλωμεν". Ὅθεν καὶ ἐγένετο ἀρκετὴ λογοτριβὴ ἀπὸ ὥρας β' μέχρις ὥρας τεταρτης. Καὶ τότε βλέποντες οἱ Φράροι τὸ ἀμετάθετον ἰδίαις χερσὶν ἅπαντα τὰ αὐτῶν ἐξέβαλον ἐκ τοῦ Κουβουκλίου, ἕως καὶ τοὺς ἐν τοῖς τοίχοις ἥλους· οἱ δὲ Ἀρμένιοι ἰσχυρογωμονήσαντες οὐκ ἐξέβαλον· διὸ οἱ περὶ χοζακιάνην καὶ σιλιχτάρην ἅπαντα τὰ τῶν Ἀρμενίων ἐξώσαντο. Ἀλλ' οὐκ ἠρέμησαν Φράροι καὶ Ἀρμένιοι, ἀλλ' αὐθωρὸν ἔτρεξαν πρὸς τὸν ἡγεμόνα καταβοῶντες καθ' ἡμῶν, φέροντες καὶ τὰ παλαιὰ σενέτια αὐτῶν, ὡς διαλαμβάνοντα περὶ τῶν ἄνωθεν σκευῶν· ὁ δὲ ἡγεμὼν συναθροίσας τοὺς προκρίτους τῶν ἐντοπίων καὶ τὸν δραγομάνον μας καὶ τὸν χοζακιάνην καὶ τὸν προρρηθέντα χατζῆ-Ἰωβὰν ἀπὸ χωρίου Θεοδοσιουπόλεως τοὔνομα Βάνκ, καὶ ἐρευνήσας ἀκριβῶς ἀπεφάσισε λέγων· "ἀπὸ τοῦ νῦν ὅστις φέρει σενέτιον περὶ τόπων καὶ σκευῶν τῶν ἐν τῇ ἐκκλησίᾳ, ἐκεῖνος ἔχει καὶ τόπους καὶ σκεύη". Αὐτοὶ δὲ μὴ ἔχοντες διελύθησαν ὡσεὶ καπνός.

Τῇ ιζ' τοῦ αὐτοῦ ὀκτωβρίου, τῇ Κυριακῇ, ὥρα β' τῆς ἡμέρας, ἐκρημνίσθη ὁ νότιος τοῖχος, ὅ τε ἀνατολικὸς καὶ ὁ δυτικὸς τοῦ πανιέρου Κουβουκλίου, ὡς ἔκ τε τῆς ἀρχαιότητος, ἔκ τε τοῦ πυρὸς σεσαθρωμένος, καὶ ἐφάνη τὸ πανάγιον ἄντρον μονόλιθος, σπήλαιον· τὸ δὲ τοῦ Ἁγίου Λίθου ὅλον οἰκοδομητὸν ἐκ λίθων, καὶ ἤρξατο καὶ ἡ οἰκοδομὴ ἔξωθεν ἐκ θεμελίου, τοῖχος νέος. Τῇ δὲ θ' ὥρᾳ τῆς αὐτῆς ἡμέρας ἐμαζώχθησαν οἱ Ἀρμενόφραγκοι εἰς τὸ Ἅγιον Κουβούκλιον ζητοῦντες κρεμάσαι τὰς κανδήλας των, ἢ κἂν δοῦναι ἔγγραφον ὑπόσχεσιν, ὅτι μετὰ τὴν τελείωσιν τῆς οἰκοδομῆς ἐῶμεν αὐτοὺς κρεμάσαι ταύτας. Ἐν δὲ τῷ μεταξὺ ζητοῦντες τὸν κάλφαν ἀνοῖξαι τὸν φραγμόν, ὃν ἐνέβαλε τῇ πύλῃ τοῦ Ἁγίου Λίθου, ἠκούσθη ὅτι ὁ κάλφας καὶ ὁ ἐπίτροπος, ὁ δραγομάνος καὶ ὁ χατζῆ-Ἰωβάνος ἀπῆλθον πρὸς τὸν ἡγεμόνα, καὶ προσμένοντες οἱ Ἀρμενόφραγκοι ἔμαθον, ἐλθόντος ἐκεῖθεν τζαούσῃ, ὅτι ὁ ἡγεμὼν ἀπεφάσισεν οὔτε κανδήλας νὰ κρεμάσωσιν, οὔτε νὰ μετρήσωσιν, οὔτε ὁμολογίαν, οὔτε ἐγγράφως, οὔτε ἐκ στόματος νὰ λά-

βωσιν ἐκ τῶν Ῥωμαίων, καίτοι τὸ πρωὶ ταῦτα πάντα ἀποφασισαντος αὐτοῖς γενέσθαι οὕτως. Ὁ Θεὸς ἡμῶν διεσκέδασε τὰς βουλὰς (αὐτῶν) καὶ ἔστι βοηθὸς ἡμῶν τῷ ἀπείρῳ αὐτοῦ ἐλέει!

Τῇ ιῃ', ὥρα θ' τῆς ἡμέρας, οἱ Ἀρμενόφραγκοι διήγειραν τὸν χοζακιάνην καὶ σιλιχτάρην καὶ ἔφερον προσταγὴν τοῦ ἡγεμόνος, ἵνα κρεμάσωσι τὰς κανδήλας των ἔνδον τοῦ Κουβουκλίου, λέγοντες ὅτι "τὸ ἔνδον τοῦ Κουβουκλίου οὐ χρήζει μερεμέτι" καὶ ὅτι "ἡμεῖς ἐκαρφώσαμεν κανδήλας καὶ ἀνάπτομεν καὶ κερί"· ἐν οἷς ψευδεῖς ἀποδειχθέντες ἐγύρισαν πάλιν ἐν αἰσχύνῃ οἱ ἀναίσχυντοι· οὐ γὰρ εὗρον κανδήλας, οὐδὲ κερὶ οἱ περὶ τὸ κέσφιον, καὶ τὸ Κουβούκλιον, ὡς χρῆζον ἐπανορθώσεως ὅλον ἀπ' αὐτῆς τῆς στέγης, κατεβιβάσθη. Ἀλλ' οὐ πάλιν, οὐχ ἡσύχασαν· ἐγένετο δὲ καὶ φιλονεικία τῶν ἡμετέρων πρὸς ἀλλήλους, οἱ μὲν θέλοντες μετὰ ἐρυθροῦ λίθου τὴν οἰκοδομήν, τοῦ κομισθέντος, ὡς εἴρηται, ἀπὸ κάμπου τοῦ μοναστηρίου τοῦ Σταυροῦ, ὡς λαμπροτέρου τοῦ μαρμάρου, οἱ δὲ μετὰ τῶν μαρμάρων τῶν ἀπὸ Κωνσταντίνου ἐκκομισθέντων εἰς Ἱερουσαλήμ, ὡς ἀφιέρωμα τοῦ Φώτη κάλφα. Ἡ ἀρχὴ ὅμως ἐγένετο διὰ τοῦ κοκκίνου.

Ταῦτα τὰ μάρμαρα ἔφερεν ἓν καράβιον Μαυροθαλασσίτικον, ἔχον καπητάνον τινὰ Νταοὺτ Ἰμπραήμ, ὁρίζοντα μόνον τὸ ἥμισυ τοῦ καραβίου, τὸ δὲ ἄλλο ἥμισυ [ὥριζεν] εἰς Ἀρμένης οἰκῶν ἐν Κωνσταντίνου, Γαγονναπίογλου [καλούμενος]· ὃς τοιαύτην παραγγελίαν ἔδωκε τῷ καπητάνῳ: ἵνα εὐκαιρίας τυχὼν τρυπήσῃ τὸ πλοῖον καὶ βυθίσῃ καὶ τὰ μάρμαρα καὶ τοὺς χατζῆδες καὶ τοὺς μαστόρους καὶ τὸν πρώην Πρεσρένης [ἀρχιερέα] καὶ [τὸν] καμαράσην, ὄντας τοὺς πάντας πλείονας τῶν ρλ' ψυχῶν, καὶ ὅλην τὴν ἀποσκευήν των, καὶ αὐτὸς νὰ τῷ πληρώσῃ τὴν τιμὴν τοῦ μερδικοῦ του καὶ ἄλλα χαρίσματα, ἑκατὸν πεντήκοντα πουγγεῖα, νὰ ἐγχειρίσῃ. Ἔχων λοιπὸν ὁ καπητάνος τοιαύτην παραγγελίαν, ποίαν στενοχωρίαν οὐκ ἔδειξεν εἰς τοὺς εἰρημένους χατζῆδες; νερὸν θάλασσαν τοὺς ἐπότιζεν, εἰς τὸ ἀμπάρι τοὺς ἔκλειεν, ὥστε οὐδεμίαν ἄνεσιν νὰ ἔχωσιν. Ἦν δὲ ἡ συμφωνία, ἵνα εἰς τὸ Γιάφφα πληρώσῃ τὸν πλοῦν· ἀλλ' αὐτὸς εἰς τὸ Χάιφα ὑπῆγε καὶ ἐκεῖ ἐβού-

λετο τελειῶσαι τὴν παραγγελίαν· ὅθεν κρυφίως ἐτρύπησε τὸ καράβι καὶ ἤρξατο γεμίζειν ἐκ τῆς ὀπῆς νερόν· ἀλλ' ὁ ὁδηγὸς τοῦ πλοίου, Ῥόδιος χριστιανὸς ὤν, ἔμαθε μὲ τρόπον τὸν ὀλέθριον σκοπόν, ἐκοινολόγησε τὴν πονηρὰν βουλήν. Εὗρε τὴν τρύπαν, ἔκλεισεν αὐτήν, ἐξέβαλον τὸ νερόν, ἔκραξαν τέσσαρα πλεούμενα τυχόντα ἐκεῖ διὰ ὠνὴν σίτου ἀπὸ τῆς Ὕδρας [μὲ] χριστιανοὺς πρὸς βοήθειαν, ἵνα καὶ οἱ χατζῆδες εἰς ἐκεῖνα εἰσέλθωσι καὶ τὸ πρᾶγμα εἰσάγωσιν· ὁ δὲ καπητάνος ἐναντιούμενος οὐκ ἤθελεν ἐᾶσαι τοὺς χατζῆδες. Ὅθεν οἱ Ὑδριῶται, εἰσελθόντες εἰς τὸ Μαυροθαλασσίτικον, τὸν μὲν καπητάνον ἔδεσαν, τοὺς δὲ χατζῆδες καὶ τὸ πρᾶγμά των καὶ τὰ μάρμαρα, πλὴν ὀλίγων μονοσανίδων καὶ λίθους καὶ χαβιάρι, τὰ πάντα εἰς τὸ οἰκεῖον καράβιον μετεκόμισαν, καὶ ἀπὸ τοῦ Χάιφα εἰς τὸ Γιάφφα χωρὶς ναῦλον εὐώδωσαν, καὶ οὕτως ἡ θεία χάρις ἐνίκησε τὴν πονηρίαν καὶ ἀπανθρωπίαν τοῦ Ἀρμένη καὶ ἔσωσε τοὺς πιστοὺς δούλους του ἐκ τοῦ θανάτου.

Τῇ ιθ', ἤδη τετάρτην φοράν, ἀπῆλθον εἰς τὸν ἡγεμόνα καὶ εἶπον, ὅτι ὁ κάλφας εἰς τὸ πεῖσμα τοῦ ἡγεμόνος ἐχάλασε τὸ Κουβούκλιον, ὅπου ἦν γερὸν καὶ μὴ δεόμενον χαλάσματος. Ὅθεν ὁ ἡγεμὼν ἔστειλε τὸν μουφτῆν καὶ τὸν υἱὸν τοῦ μπας-κιατήπ, εὑρεθέντος καὶ τοῦ χοζακιάν, εἰς τὸν ναόν· οἵτινες ἐξετάσαντες ὅλον τὸ Κουβούκλιον καὶ εὑρόντες σεσαθρωμένον ὕβρισαν τοὺς Ἀρμενίους καὶ ἀπῆλθον, μεινάντων καὶ κατὰ τοῦτο τῶν Ἀρμενίων τῶν ἀναισχόντων ἐντροπιασμένων. Ἐγένετο δὲ ταῦτα πρὸς τῇ θ' ὥρᾳ τῆς ἡμέρας τῆς Τρίτης· οἱ δὲ ὀρθόδοξοι ἐδοξάσαμεν τὸν Θεὸν καὶ σωτῆρα ἡμῶν.

Σήμερον, ἤγουν κατ' αὐτὴν τὴν ἡμέραν τῆς Τετράδος, ἔβαλον καὶ τὰ καλούπια τῶν παραθύρων καὶ καμαρῶν τῆς ἀχιβάδος. Τῇ δεκάτῃ ὥρᾳ τῆς ἡμέρας τῆς Τρίτης δι' ἀδείας τοῦ ἡγεμόνος ἐν τῇ Ἁγία Πόρτα συνήχθησαν αἱ τρεῖς φυλαὶ καὶ ἔγραψαν τὰ ὅσα ἑκάστη φυλὴ εἶχεν ἐν τῷ Ἁγίῳ Κουβουκλίῳ, κανδήλια, ποδέας καὶ εἰκόνας· τὸν δὲ κατάλογον τοῦτον ἔλαβεν ὁ ἡγεμὼν καὶ ὡς φασιν ἐξέσχισεν.

Τῇ κα' οἱ Ἀρμένιοι ἐσάρωσαν τὸ ὄπισθεν τοῦ Ἁγίου Κου-

*

βουκλίου, κατὰ τὰ λεγόμενα Συροκόπτικα, καὶ τὰς πέτρας καὶ τὸν χοῦν ἀπέρριψαν κατὰ τὸ δοχεῖόν μας· ἔκτισαν μὲ πέτρας καὶ τὰ μνήματα τοῦ Ἰωσὴφ καὶ Νικοδήμου. Ὅπερ οἱ ἡμέτεροι μαθόντες, τὸ μὲν κτίσμα ἐχάλασαν καὶ τὰ μνήματα ἤνοιξαν, αὐτοὺς δὲ τοῖς ῥήμασιν ἔβαλον. Τῇ κβ' εἰς τῶν χατζήδων Ἀρμενίων ἐλθὼν τῇ γ' ὥρᾳ εἰς τὸν περίβολον τὸν ἐκ σανίδων, ἔνδον τοῦ ὁποίου οἱ μαστόροι ἔκτιζον, ἐκ τῶν ὀπῶν ἔπτυεν αὐτούς. Τοῦτον δέ τις ντελίμπασις παρατηρήσας πτύοντα, θραξάμενος ἐκ τοῦ ὤμου, ἐξείλκυσεν ἐκεῖθεν, καὶ ἓν ῥάπισμα ἐξαρκοῦν αὐτῷ δοὺς μετὰ ὕβρεων ἐξεδίωξε τῆς Ἁγίας Πόρτας.

Τῇ κγ' ἀπεστάλη ὁ σιλιχτάρης ἀπὸ τοῦ ἡγεμόνος εἰς τὸν ἱερὸν περίβολον, καὶ εὑρὼν τὸν τιμιώτατον καὶ φρονιμώτατον κάλφαν, τὸν Κομνηνόν, εἶπεν, ὅτι οἱ Ἀρμένιοι ζητοῦσιν αὔριον τὴν Κυριακὴν νὰ εἰσάξωσι τοὺς χατζῆδες των εἰς τὸν ναὸν καὶ νὰ προσκυνήσωσι τὸ Ἅγιον Μνῆμα· ὁ δὲ κάλφας ἀπεκρίθη· "Βλέπεις πῶς ὅλος ὁ τόπος ἐστὶ σεσαθρωμένος καὶ κατακρημνισμένος, πλήρης χωμάτων· λοιπὸν ἔσται δυνατὸν τοῦτο γενέσθαι; Ἀλλ' ἔστω ὑπομονή, ὥστε καθαρισθῆναι τῶν πετρῶν καὶ χωμάτων καὶ ἀνοικοδομηθῆναι, ἕως τὴν ἄλλην ἑβδομάδα, καὶ τότε ἐλθέτωσαν καὶ αὐτοὶ καὶ ποιησάτωσαν τὸ ζιαρέτι των". Καὶ οὕτως ἀνέστρεψεν ὁ σιλιχτάρης. Ἀλλὰ κατὰ τὴν δευτέραν ὥραν τῆς νυκτὸς προαποστείλας ὁ ἡγεμὼν προσεκαλέσατο εἰς ἑαυτὸν τόν τε δραγουμάνον κῦρ Ἀβέρκιον καὶ τὸν Κομνηνὸν κάλφαν· προσέταξεν αὐτούς, ὅπως ἀπροφασίστως ἀνοίξωσι τὴν ὁδὸν καὶ καθαρίσωσι τὴν φέρουσαν εἰς τὸ Ζωηφόρον Μνῆμα, ἵνα προσκυνήσωσιν οἱ Ἀρμένιοι· τῇ γὰρ τεσσαρακοστῇ ἡμέρᾳ ἀπὸ τῆς ὑψώσεως τοῦ τιμίου σταυροῦ ποιοῦσιν ἑορτὴν αὐτοῦ, ὡς αὐτοὶ λέγουσιν, ἑορτάζοντες κάτω εἰς τὴν ἐκκλησίαν τοῦ ἰσαποστόλου Κωνσταντίνου, ἄνωθεν τῆς Εὑρέσεως τοῦ Σταυροῦ· τὴν ὁποίαν ἐκκλησίαν ἥρπασαν ἀπὸ τοὺς Χαμπεσίους, καθὼς καὶ τὸ παρακλήσιον, τὸ Διεμερίσαντο τὰ ἱμάτια, καὶ τὸ ὑπὸ τὸ μοναστήριον τοῦ Ἀβραάμ, τὸ ἐπ' ὀνόματι Ἰωάννου τοῦ Θεολόγου. Λοιπὸν οἱ ἡμέτεροι, εὐπείθειαν ὑποδείξαντες τῷ ἡγεμονικῷ προστάγματι, συνήγαγον τοὺς μαστόρους, προϊ-

στάμενος τούτων ὁ κάλφας Κομνηνὸς, καὶ εἰς τρεῖς ὥρας, μέχρι τῆς ἔκτης δηλαδή, συνήγαγον τὰς κρημνισμένας πέτρας, μετακομίζοντες ἅμα αὐτοῖς καὶ τὸν χοῦν εἰς τὸ παρακλήσιον τοῦ ἁγίου Λογγίνου· τὴν δὲ ὁρθομαρμάρωσιν, τήν τε ἐκτὸς, τὴν ἐν τῷ Ἁγίῳ Λίθῳ ὁμοῦ καὶ τὸ μάρμαρον τῆς παλαιᾶς προθέσεως, καὶ ἅπαντα τὰ μάρμαρα τὰ ὑπὸ τὸ Ἅγιον Ἄντρον, συνέλεξαν καὶ ἐφύλαξαν, ὁμοῦ καὶ τὰ σιδηρα τὰ ἐπάνω τοῦ Ἁγίου Ἄντρου, τὰ ἐπὶ τὸ Ζωηφόρον Μνῆμα, εἰς διατήρησιν παρὰ τῷ ἁγίῳ σκευοφύλακι. Ἐφάνη λοιπὸν ὅλον τὸ Ἅγιον Ἄντρον σπήλαιον, λίθος μέλεκι, ἤτοι βασιλικός, οὗ τὸ μῆκος πήχεις τρεῖς, τὸ πλάτος πῆχυς εἷς καὶ ἥμισυς, τὸ ὕψος πήχεις τέσσαρες· κατὰ τὰ ἑκάτερα μέρη, ἤτοι νότια καὶ βόρεια, ἐστὶ μόνον λαξευτός· κατὰ γὰρ τὰ ἀνατολικὰ καὶ δυτικὰ καὶ τὴν ἐπάνω στέγην εἰσὶ κτιστά· τὸ δὲ ἔδαφος ὅλον τό τε τοῦ Ἁγίου Λίθου, τό τε τοῦ Θεοδέγμονος Ἄντρου, ἐστὶ λίθος ῥιζιμαῖος, οὐκ οἰκοδομητός, οὐδὲ εἰς τὸ κάτω μέρος σκαπτός, ἀλλ' ὅλον τὸ ἐπίπεδον τοῦτο μία αὐτοφυὴς πέτρα. Ἐπάνω δὲ τούτου ἐστρώθησαν μάρμαρα τὸ πάλαι διὰ καλλωπισμὸν καὶ διαφύλαξιν· ὁμοίως καὶ ὁ μαρμάρινος τάφος, ὁ ἐπάνω τοῦ κατὰ τὸ βόρειον τοῦ Θείου Σπηλαίου ἐπικείμενος, διὰ εὐπρέπειαν ἠνώρθωται. Τῇ λ' ὅμως ὀκτωβρίου ἐξεβλήθησαν τὰ μάρμαρα τὰ ἐστρωμένα, τὰ ἐν τῷ Ἁγίῳ Λίθῳ· τῇ λα' οὐκ εἰργάσαντο οἱ μαστόροι, οὐχὶ διότι [ἦν] Κυριακή, ἀλλὰ διὰ ἀνάπαυσιν [ἐκ] τοῦ κόπου.

Τῇ α' νοεμβρίου εἰσήγαγεν ὁ ἡγεμὼν φυλακας εἰς τὸν πύργον τοῦ Δαυίδ, ζητησάντων τούτους τῶν ἡμετέρων· οἱ γὰρ αἱρετικοὶ οὐκ ἔπαυσαν φοβερίζοντες ἡμᾶς μετὰ τὴν τοῦ ἡγεμόνος ἀναχώρησιν διεγεῖραι τοὺς ἐντοπίους Τούρκους καθ' ἡμῶν. Τὴν αὐτὴν ἡμέραν ὁ ἡγεμὼν ἠγέρθη μετὰ ὀλίγων τοῦ στρατεύματος καὶ ἀπῆλθεν εἰς τὴν Χεβρών. Αἱ καμάραι ἐσκεπάσθησαν τῆς ἀχιβάδας καὶ ἤρξατο ἡ ἐπάνω τούτων ἀχιβάς, ἐν ᾗ γενήσονται στῆλαι ἕτεραι δέκα καὶ μικραὶ ἀχιβάδες ἐννέα.

Τῇ β' νοεμβρίου ὁ σαρὰφ χατζῆ-Ἰωβάνος διά τινας ὑπηρεσίας τοῦ ἡγεμόνος, καί τις χατζῆ-Φίλιππος, ἀπῆραν τῆς Ἱερου-

σαλὴμ εἰς Ἰόππην, ἵνα ἀπέλθωσιν εἰς Βασιλεύουσαν· ὅστις χατζῆ-Ἰωβάνος ἐξεζήτησεν καὶ λογίδριον ἀφ' ἡμῶν ἐπιτάφιον καὶ ἐδώκαμεν, μὴ ἔχοντες τὸ πῶς εὐλυτῶσαι ἐξ αὐτοῦ· ὁ δὲ χατζῆ-Φίλιππος ὑπάγει διὰ κερεστὲν τοῦ κουμπέ.

Τῇ ς' νοεμβρίου οἱ Φράγκοι ἐκίνησαν ἀγωγὴν καθ' ἡμῶν πρὸς τὸν ἡγεμόνα, προβάλλοντες ὅτι ἐπήραμεν μῆκος πολὺ καὶ πλάτος καὶ ὕψος τοῦ Ἁγίου Κουβουκλίου. Ὅθεν ἐκράχθησαν εἰς τὸ ὀρδὶ οἱ πορταρέοι καὶ ἐφανέρωσαν, ὅτι οὔτε μῆκος, οὔτε πλάτος ἐξετάθη πλέον τοῦ ἀρχαίου· τὸ δὲ ὕψος οὔπω ἐφάνη. Ἐκράχθη καὶ ὁ κάλφας καὶ παρέστησε πρὸς τούτοις καὶ ὅτι ἡ πύλη τοῦ Ἁγίου Κουβουκλίου κατὰ τὴν ἀρχαίαν ἔχει· καὶ λαβὼν πρὸς τοῦ ἡγεμόνος τοῦ ἐργάσασθαι τὸ ἔργον [ἄδειαν] ὡς γινώσκει, πλὴν ταχύτερον, ὑπέστρεψεν ὁ μὲν εὐχαριστῶν τῷ Θεῷ, οἱ δὲ Φράγκοι ἐγύρισαν καὶ ἐν τούτῳ κατησχυμμένοι καὶ ἄπρακτοι.

Τῇ ι' νοεμβρίου ἐπανέστρεψεν ὁ ἡγεμὼν διὰ τὴν Δαμασκόν, ὁ δὲ σιλικτάρης τῇ ιη', καὶ αὐτὸς ὁμοίως.

Τῇ ιθ' τοῦ νοεμβρίου τολμήσας ὁ κάλφας, παρακαλεσθεὶς πρότερον ὑπ' ἐμοῦ, ἤνοιξε μέρος τοῦ Παναγίου Τάφου κατὰ δυσμὰς καὶ εὑρέθη ὅλος εὐωδία ἄρρητος, ὅλος ἀνιστάμενος μέχρις αὐτοῦ τοῦ μαρμάρου, ἔχων φραγμὸν κατὰ μὲν τὸ νότιον δύο μάρμαρα καὶ ἐπάνω αὐτοῦ δύο μάρμαρα, τὸ ἓν ἐπάνω τοῦ ἄλλου, ὁμοίως ἑκάτερα, τὸ δὲ ἀνατολικὸν ἔχων ἐπάνω αὐτοῦ τοῖχον· ὁμοίως καὶ τὸ δυτικόν· τὸ δὲ βόρειον ὅλον αὐτοφυὴς λίθος ἦτο τὸ παναγιώτατον σπήλαιον· τὸ δὲ μέσον τοῦ σπηλαίου ἀνοικτόν, καταναλωθὲν ὑπὸ τῶν πολλῶν κανδηλίων καὶ κηρίων, ἀναπτομένων τοσούτους χρόνους· ὅθεν ἤδη καὶ κτίζεται ἐπάνω τοῦ Θεοδεγμόνος Τάφου καμάρα. Εἰσερχομένων λοιπὸν ἡμῶν εἰς προσκύνησιν, τὸ ἔδαφος μένει κάτω, ὁ δὲ Πανάγιος Τάφος ἄνω, καθὰ ὁρᾶται· καὶ τοῖς ἀναξίοις μου ὀφθαλμοῖς εἶδον καὶ τρόμος κατέλαβε τὰ ὀστᾶ μου καὶ δάκρυα ἔρρεον οἱ ὀφθαλμοί μου. Οὕτως ἠξίωμαι ἰδεῖν σήμερον, χάριτι τοῦ ζωοποιοῦ Χριστοῦ μου, καὶ εἶδον καὶ ἐπίστευσα, ὅτι οὕτως, ὡς γράφω, ἔχει· ἔστι δὲ τῷ χρώματι ὁ Ζωηφόρος Τάφος ἀργυρόχρυσος, ἁπαλός.

Τῇ κα' νοεμβρίου, τῇ ιβ' ὥρα τῆς Κυριακῆς, τοῦ ἡλίου δύνοντος, ἐτέθη ἡ κλεὶς ἐπὶ τῆς ἀχιβάδος δι' εὐχῆς τῶν ἐγκαινίων καὶ ἁγιασμοῦ.

Τῇ εἰκοστῇ ὀγδόῃ τοῦ ἤδη λήγοντος νοεμβρίου θεία συνάρσει ἔλαβε πέρας πᾶσα ἡ οἰκοδομὴ τοῦ μεγάλου μύακος εἰς ἡμέρας 103, καὶ τούτῳ τῷ διαστήματι συνεπληρώθη καὶ τὸ κατὰ τὴν ἱερὰν πρόθεσιν ἐπάνω τῆς βορείου καμάρας διώροφον σκευοφυλάκιον, ἔχον τὴν ἐπ' αὐτοῦ ὀροφὴν συνηρμοσμένην διὰ σιδήρων καὶ τούβλων ἐν τῷ μεταξὺ αὐτῶν τῶν σιδήρων.

Τῇ αὐτῇ ἡμέρᾳ ἀνέστρεψαν ἀπὸ τῆς Πτολεμαΐδος παρὰ τοῦ Σελήμ-πασα εἰς Ἰόππην ὅ τε καμαράσης καὶ ὁ σαράφης χατζῆ-Γιουβάνος, λαβόντες ἄδειαν παρ' αὐτοῦ τοῦ πασᾶ παραλαβεῖν τὰ ἐναποκεκλεισμένα τοσοῦτον καιρόν, τά τε ἀπὸ τῆς Πόλεως καὶ τὰ τοῦ πρωτοσυγκέλλου, καὶ ἀνέβησαν εἰς Ἱεροσόλυμα· ἐποιήσαντο δὲ τὴν πορείαν διὰ ξηρᾶς ἀπὸ τὸ Ἄκρι· ἦν γὰρ ἐναντίος ὁ ἄνεμος.

Τῇ κθ' τοῦ αὐτοῦ ἤρξατο θεμελιοῦσθαι τοῦ Καθολικοῦ τὸ μέγα τέμπλον ἐκ λίθων καὶ τὰ στασίδια τὰ βόρεια.

Τῇ ιζ' τοῦ δεκεμβρίου, ἐν ἡμέρᾳ Παρασκευῇ, ὥρα δ' τῆς ἡμέρας, ἠγέρθη ἐπανάστασις καθ' ἡμῶν ὑπὸ τῶν ἐντοπίων Ὀθωμανῶν, καὶ ἔδραμον εἰς τὸν μέγαν ναὸν μετὰ τουφεκίων, μπιστολίων καὶ μαχαιρῶν, καὶ ἐκτύπησαν ἕνα χριστιανὸν πετρᾶν τοὔνομα Γαβριὴλ εἰς τὸ μήλιγγαν μὲ τουφέκι, καὶ διέβη τὸ μολίβι ἀντικρύ· ὁ δὲ ἔπεσε νεκρός· καὶ ἄλλον Κρῆτα καὶ ἕτερον ἐργάτην καὶ ἕνα Ἱεροσολυμίτην. Εἰσῆλθον δὲ εἰς τὸ Κουβούκλιον τοῦ Παναγίου Τάφου· ἡ δὲ αἰτία, πρῶτον ὅτι ὑπεκινήθησαν οὗτοι οἱ ζαχίλιδες ὑπ' Ἀρμενοφράγκων καὶ εἶτα ὅτι ἔβλεπον νεοφανῆ κτίσματα· ἔπειτα, ὅτι καὶ ζητοῦντες ἀπὸ τῶν ἡμετέρων χρήματα οὐκ ἐλάμβανον, ὡς ἤθελον. Ὁποῖος δὲ φόβος καὶ τρόμος κατέλαβεν ἡμᾶς καὶ τοὺς τεχνίτας τῆς οἰκοδομῆς, οὐκ ἔστιν ἐκφράσαι· εἰς γὰρ ἀπελπισμὸν ἤλθομεν καὶ τοῦ ζῆν. Εἰσῆλθον οἱ αὐτοὶ συντρίψαντες τὴν θύραν τοῦ οἴκου τοῦ Ἀβερκίου ὀραγομάνου· ἥρπασαν τὸ ἀργυροῦν κανδήλιον· καὶ ἐν τῷ τοῦ παραδραγομάνου, καὶ ἔκλεψαν

τὰ ζάρφια αὐτοῦ· αὐτοὺς γὰρ ζητοῦντες οὐχ εὗρον. Καὶ τῇ νυκτὶ τῇ αὐτῇ ὑπεμείναμεν ἐκ τοῦ φόβου ἄυπνοι ἐν ἑνὶ τῶν οἴκων τοῦ Ἀπουχανακὰ λεγομένου. Ἀπὸ τοῦ φόβου τούτου διεπεράσαμεν ἔντρομοι καὶ κατὰ τὴν ιή, ὄντων ὁπλοφόρων τῶν ζαχίλιδων καὶ φοβεριζόντων θάνατον δοῦναι πᾶσι τοῖς καλογήροις, ἐὰν μὴ ἐξαχθῶσι ἐκ τοῦ πύργου τοῦ Δαβιὸ οἱ χαβάριδες· οὕτω κινήσαντες εἰσὶ καθ' ἡμῶν τοὺς τοιούτους ζαχίλιδες οἱ Φραγκοαρμένιοι. Ὁ δὲ ἐπίτροπος καὶ ὁ πρώην ἐπίτροπος κατέβησαν εἰς τὸν μουλλᾶν, καὶ συναχθέντων [τῶν] τῆς γερουσίας καὶ ζητηθέντος παρ' αὐτῶν τὸ ποιητέον, κοινῇ γνώμῃ ἀπεφασίσθη, ἵνα ἐξέλθωσι τοῦ πύργου οἱ χαβάριδες· ὁ δὲ μουτσελήμης μόνος ἀντέστη λέγων, ὅτι "ἐὰν μὴ ἀπόφασις ἐξέλθῃ ἀπὸ τοῦ ἡγεμόνος, ἐγὼ οὐ δύναμαι ἄλλως ποιῆσαι". Ἐγένοντο δὲ συνελεύσεις ἀπὸ τῆς ἑνάτης ὥρας τῆς Παρασκευῆς μέχρι τῆς ἕκτης ὥρας τῆς Κυριακῆς δεκατέσσαρες ἔν τε τῇ οἰκίᾳ τοῦ μουφτῆ καὶ νακίπη, ἔν τε τῇ τοῦ μουτσελήμη καὶ μουλλᾶ, ἔν τε τῇ τοῦ σεχ-Ἀμποῦ Σωοὺτ καὶ ἐν τῇ τοῦ σεχ-Πέτερ παρὰ τῷ σεχ-Μουχάμετ Ἰακοὺπ Μουγραπλῆ· εἰς τὰς ὁποίας συνελεύσεις παρὰ πάντων τῶν γεροντοτέρων τῆς Ἱερουσαλὴμ οὐδὲν ἐλέγετον, ὅτι μὴ νὰ ἐξέλθωσιν ἀπὸ τῆς Ἀκροπόλεως οἱ ἀφεθέντες χαβάριδες. Καὶ ἡμεῖς συν αὐτοῖς ἑνωθέντες καὶ μιᾷ γνώμῃ ὁμοφωνήσαντες ἀπεφασίσθη, ἵνα ὦμεν συνηνωμένοι μετ' αὐτῶν καὶ διαυθεντευόμεθα πρὸς ἀλλήλους εἰς πᾶσαν κρίσιν· καὶ οὕτως ἔστερξαν καὶ κατεπείσθησαν οὗτοι οἱ γέροντες καὶ ἀπέστειλαν ἐξαγαγόντες ἀπὸ τοῦ θείου ναοῦ τοὺς ζαχίριδες καὶ ἀπὸ τοῦ Πατριαρχείου καὶ ἀπὸ τοῦ Ἀβραὰμ καὶ ἀπὸ τοῦ μετοχίου τῆς Γεθσημανῆς, ἔνθα ἦσαν ἐπηρεάζοντες οἱ καλοὶ οὗτοι φύλακες, ἤ, τὸ ἀληθέστερον εἰπεῖν, φοβερίζοντες λῃσταὶ καὶ βίαιοι ἁρπαγες· ἐξεκομίσθη δὲ καὶ ὁ διὰ τοῦ πυροβόλου ἀποθανὼν πετρᾶς Γαβριὴλ καὶ ἐτάφη· κινδυνεύει δὲ εἰς θάνατον ὁ πληγεὶς Κρητικός· οἱ δὲ ἄλλοι δύο οὐκ ἔχουσι φόβον· συνετρίβησαν δὲ καὶ τὰ μάρμαρα τὰ ὀρθωθέντα ἐν τῷ Ἁγίῳ Κουβουκλίῳ, καί τινα ἄλλα τῶν νεοικοδομηθέντων κτιρίων κατεχρημνίσθησαν· κατέξαν καὶ τὸν ἐν τῷ ἁγίῳ Γολγοθᾷ ὑάλινον πολυέλεον· ἐφοβέριζον δὲ καὶ τοὺς μαστό-

Ἡμεῖς μὲν οὖν, καίτοι προητοιμασμένοι εἰς ἀπολογίαν καὶ ἀναίρεσιν τῶν ὑπὸ τῶν Φράγκων προβαλλομένων, ἀλλ' οὖν οὐκ ἐλείψαμεν ἔτι ἔχοντες προθεσμίαν φροντίσαι περὶ πλείονος ἀσφα-

λείας. Ἀλλ' ἐν τῷ μεταξύ, περὶ ταῦτα θορυβουμένων καὶ φροντιζόντων ἡμῶν, ἰδοὺ παρ' ἐλπίδα λαῖλαψ ἀνέμου καὶ ἄλλη σφοδρὰ καταιγὶς ἡμῖν ἐπῆλθε· τῇ γὰρ ιδ' τοῦ αὐτοῦ ἰδίου μηνὸς οἱ φίλοι Ἀρμένιοι συγκαλοῦσιν ἡμᾶς τε καὶ τοὺς Φράγκους εἰς τὸν Μεχκέμ, ὅπου καὶ ὅλων τῶν προκρίτων συνηγμένων ἐμφανίζουσι τρεῖς βασιλικοὺς ὁρισμούς, τὸν μὲν πρῶτον ὅπως ὁ ἐν τῷ ὄρει τῶν Ἐλαιῶν ναός, ἐπειδὴ ἐκ τῆς πολυκαιρίας καὶ τοῦ σεισμοῦ ἔπαθε φθοράν, ἀνορθωθῇ καὶ ἐπισκευασθῇ ἐκ μόνου τοῦ γένους τῶν Ἀρμενίων· τὸν δὲ δεύτερον περὶ τοῦ ναοῦ τῆς ἁγίας Βηθλεὲμ ὁμοίως καὶ ἡ παρὰ τῶν Ἀρμενίων ἐκεῖ ἐμφραγεῖσα πύλη μηδέποτε ἀνεωχθῇ· τὸν δὲ τρίτον περὶ τοῦ ναοῦ τῆς τοῦ Χριστοῦ Ἀναστάσεως, καὶ αὐτὸς ὢν ὑπ' αὐτῶν ἐπισκευασθῇ, ὡς ὑπὸ τοῦ σεισμοῦ διαφθαρείς. Τούτων δὲ ἀναγνωσθέντων ἀνεγνώσθη καὶ ὁ ἴδιος ὁρισμὸς τοῦ σατράπου Μεεμὲτ-Ἀλῆ-πασᾶ, προσεπιτάττων ὅπως οἱ βασιλικοὶ ὁρισμοὶ χωρὶς ἀναβολῆς ἐνεργηθῶσιν. Ἐξέστημεν ταῦτα ἀκούσαντες παρ' ἐλπίδα, καὶ πολλὰ εἴπομεν τοῖς Ἀρμενίοις, καὶ μάλιστα ὁ Φραγκοεπίτροπος· ἀλλ' οὐδὲν ὠφέλησαν. Τέλος δ' οὖν καὶ παρὰ τοῦ μουλλᾶ καὶ τῶν λοιπῶν ἐγένετο ἡ ἀπόφασις. Καὶ δὴ οἱ Ἀρμένιοι ἑτοιμάσαντες κανδήλας καὶ εἰκόνας ἐκρέμασαν ἔνδον τοῦ Ἁγίου Κουβουκλίου, τοῦ ἐν τῷ ὄρει τῶν Ἐλαιῶν, καὶ μαρμαρίνην τράπεζαν κατασκευάσαντες ἤρξαντο λειτουργεῖν ἐκεῖ τῇ ιζ' Ἰουλίου· ἠγόρασαν δὲ ἐκ τῶν ἐκεῖ Τούρκων καὶ οἰκίσκον τινὰ συνηνωμένον ὄντα τῷ ναῷ (ὃν ἡτοίμασαν, ὅπως κάθηται ὁ κανδηλάπτης), καὶ τῇ κ' τοῦ αὐτοῦ μηνὸς ἤρξαντο ἐκ θεμελίου κτίζειν ἕτερον ἐπ' αὐτόν.

Τῇ δὲ κα' τοῦ αὐτοῦ μηνὸς ἀπῆλθον οἱ Φράγκοι εἰς τὴν Βηθλεὲμ καὶ εἰς τοὺς Ποιμένας, καὶ ἔγραψαν καὶ κατέγραψαν κἀκεῖ, ὡς ἤθελον· τῇ δὲ κγ' καταβάντες ἡμεῖς προσεκομίσαμεν εἰς τὸν Μεχκεμὲ τὴν εἰς τὰ κεφάλαια τῶν Φράγκων ἀπολογίαν καὶ ἀναίρεσιν ἐγγράφως· ἐγράψαμεν δὲ καὶ ἀναφορὰν πρὸς τὸν Μεεμὲτ-Ἀλῆ-πασᾶν διὰ τὰ ἄδικα τῶν Φράγκων ζητήματα. Ἔκτοτε δὲ οὐδεμία ἀπόκρισις ἐφάνη περὶ τῶν τοιούτων μέχρι τῆς σήμερον. Κατὰ ταύτας δὲ τὰς ἡμέρας ἦλθεν ἡμῖν βασιλικὸς ὁρισμὸς καὶ

πουγιουρ ίον τοῦ Μεεμὲτ-'Αλῆ-πασᾶ, ἵνα παραλάβωμεν τὸν ἐν 'Ιόππῃ ῥηθέντα οἶκον, ὃν δολιότητι ἥρπασαν ἀφ' ἡμῶν αὐτοὶ οἱ Φράγκοι· προσεκαλέσαμεν δὲ αὐτοὺς εἰς τὸν Μεχκεμέ, πρὸς ἀκρόασιν τῶν ὁρισμῶν· ἀλλ' αὐτοὶ μαθόντες τὴν αἰτίαν οὐκ ἀπῆλθον, προφασιζόμενοι ἄλλα καὶ ἄλλα. Τῇ δὲ ἐπαύριον 1-ῃ αὐγούστου πάλιν μετακαλεσαμένων ἦλθον· ἀναγνωσθέντων δὲ τῶν ὁρισμῶν εἶπον τοῖς κριταῖς· "Ὁ ῥεβερεντίσσιμος ἡμῶν (οὗτος ὁ ἀρχηγὸς τῶν ἐν 'Ιερουσαλὴμ Φρατόρων) διατρίβει εἰς τὸ Χαλέπιον· ἡμεῖς οὐ δυνάμεθα περὶ τούτου ἐνεργῆσαί τι". Βιασάντων δὲ ἡμῶν αὐτοὺς εἶπον· "Θέλομεν διορίαν τριάκοντα ἡμέρας, ὅπως αὐτῷ γράψωμεν". Ὁ δὲ μουλλᾶς, διὰ τὸ λαβεῖν ἱκανὰ παρ' αὐτῶν πρότερον [=ἀργύρια], εἶπεν· "Δίκαιόν ἐστι δοθῆναι αὐτοῖς διορίαν"· τοῦτο δὲ εἶπον καὶ οἱ λοιποὶ καὶ ἐπέμενον. Τότε ἡμεῖς καταπλαγέντες τὴν τοῦ μουλλᾶ δολοτροπίαν ἀνεχωρήσαμεν εἰς τὰ ἴδια· τῇ δὲ ἑσπέρα ἐκείνῃ ἀπέστειλαν τὸν διερμηνέα αὐτῶν λέγοντες, ὅτι τὸ ὀσπήτιον ἐκεῖνο τὸ ἐν 'Ιόππῃ οὐ δύνανται ἐπιστρέψαι ἡμῖν, ὡς ἀναγκαῖον αὐτοῖς· ἐὰν δὲ θέλωμεν, δώσουσιν ἡμῖν ἄλλο ἐν 'Ιερουσαλὴμ ἀντὶ ἐκείνου. 'Απεκρίθημεν δὲ ἡμεῖς, ὅτι ἐν 'Ιερουσαλὴμ ὀσπήτια ἔχομεν πολλά, εἰς δὲ τὴν 'Ιόππην ἐκεῖνο ἀναγκαιότατον ἡμῖν, μὴ ἐχόντων ποῦ καταλύσουσι τῶν προσκυνητῶν διὰ τὴν στενοχωρίαν τοῦ ἐκεῖ ἡμῶν μοναστηρίου, καὶ κατακλίνονται εἰς τὰς πλατείας καὶ ῥύμας τῆς πόλεως ὑποκάτω τῆς βροχῆς. 'Απελθόντος δὲ τοῦ διερμηνέως, τῇ ἐπαύριον ἀπῆλθον καὶ κατέπεισαν τοὺς κρατοῦντας τοῦ γενέσθαι τοῦτο, ἵνα δώσωσιν ἡμῖν ἄλλο ἐν 'Ιερουσαλὴμ· οἱ δὲ ἀνέφερον ἡμῖν τοῦτο παραινοῦντες καὶ συμβουλεύοντες, ὅπως στέρξωμεν· ἡμῶν δὲ μὴ πεισθέντων ἐκεῖνοι παρῃτήσαντο εἰπόντες· "Οἱ 'Ρωμαῖοι, ὃ δύνανται ποιῆσαι, ποιησάτωσαν", καὶ οὕτως ἔμενεν ἡ ὑπόθεσις ἀνενέργητος. 'Εγράψαμεν δὲ ἡμεῖς δηλοποιοῦντες τὰ τρέξαντα εἰς τε τὸν Μεεμὲτ-'Αλῆ-πασᾶν ἐν Αἰγύπτῳ καὶ τὸν μακαριώτατον 'Ιεροσολύμων εἰς τὴν Βασιλεύουσαν, ὥπερ καὶ τὰ λοιπὰ ἐδηλώσαμεν, τῶν Φράγκων τὰς κρίσεις καὶ τῶν 'Αρμενίων τὰ φερμάνια καὶ τὰς πράξεις.

Οὗτοι δὲ ἀπὸ α' αὐγούστου ἀρξάμενοι στρωννύειν διὰ πλακῶν

λιθίνων τὸν ναὸν ἐν τῷ ὄρει τῶν Ἐλαιῶν κατέσκαψαν τὸ πρὸς βορρᾶν ἔδαφος, ἵνα ποιήσωσι δεξαμενὴν πρὸς ὑποδοχὴν τῶν ὑδάτων· τοῦτο δὲ ὅλον ἐποίουν, ἵνα φαίνωνται κτίτορες καὶ κύριοι τοῦ ἐκεῖ ναοῦ καὶ τοῦ προσκυνήματος· ἐκρήμνισαν δὲ καὶ τὸ προπύλαιον τοῦ ναοῦ καὶ ᾠκοδόμησαν αὐτὸ εὐρύτερον καὶ ὑψηλότερον, ἐγκολάψαντες ἐπ' αὐτὸ καὶ Ἀρμενικὰ γράμματα, τὸ ἔτος κτλ., καὶ ὅτι ἀνέκαθεν ἦν αὐτοῖς ἴδιον κτῆμα· ᾠκοδόμησαν δὲ καὶ δύο κελλία, ὅπως κάθηται ἐν αὐτοῖς ὁ νεωστὶ ψηφισθεὶς ὑπ' αὐτῶν ἡγούμενος μετὰ τοῦ κανδηλάπτου καὶ τῶν λειτουργούντων, ἐλειτούργουν γὰρ καθ' ἡμέραν· ἠγόρασαν δὲ καὶ ἐλαιῶνα καὶ περιετείχισαν λίθοις.

Τῇ δὲ α' σεπτεμβρίου ἔφερον εἰς τὸν θεῖον ναὸν τῆς Ἀναστάσεως τὸν μουλλᾶν καὶ ὅλους τῆς Ἱερουσαλὴμ τοὺς προκρίτους, καὶ ἀναγνώσαντος αὐτοῦ τὸν περὶ τῆς ἐπισκευῆς τοῦ ναοῦ ἴδιον ὁρισμὸν ἐζήτησαν, ὅπως καταγραφῶσι τὰ μέρη, ἅπερ ἔμελλον ἐπισκευάσαι· ἐρωτήσαντος δὲ τοῦ μουλλᾶ τίνα εἰσὶ τὰ ἀνάγκην ἔχοντα ἐπισκευῆς, ἐκεῖνοι ἔδειξαν εὐθὺς τὸν μολυβδοσκέπαστον μέγαν κουμπέ, λέγοντες ὅτι ἔχει κίνδυνον τοῦ πεσεῖν. Τοῦτο εἰπόντων τῶν Ἀρμενίων, μέγας θόρυβος ἐγένετο ὑπὸ τοῦ λαοῦ, συναχθέντος ἐκεῖ ἐκ διαφόρων γενῶν ἰδεῖν τὸ τέλος, καὶ οὐκ ἠδύναντο ἀκούειν οἱ κριταὶ ὁ εἷς τοῦ ἄλλου. Ἐγερθεὶς ὁ μουλλᾶς εἶπεν· "Ἡ τοιαύτη ὑπόθεσις ἀπαιτεῖ ἡσυχίαν καὶ οὐ θόρυβον τοσούτου πλήθους· ἱκανοί εἰσι πέντε ἢ ἓξ ἐξ ἑκατέρων τῶν μερῶν μόνον· αὔριον ἢ μεθαύριον πάλιν συνελθόντες ἐνταῦθα μετ' ὀλίγων μόνον, θεωρήσωμεν μεθ' ἡσυχίας τὴν ὑπόθεσιν". Καὶ ταῦτα εἰπὼν ἀνεχώρησεν εἰς τὰ ἴδια μετὰ τῶν λοιπῶν· ἀσθενήσας δὲ οὐκ ἠδυνήθη ἐλθεῖν ἕως τῆς ζ' σεπτεμβρίου, ὅτε πάλιν ἐλθὼν μετὰ τῶν προκρίτων καὶ ὀλίγων Ἀρμενίων καὶ ἡμῶν ὁμοίως ἤρξατο τῆς καταγραφῆς· κατεγράφη δὲ ὡς δεόμενα ἐπισκευῆς τὰ ἑξῆς. Πρῶτον· εἰς τὸ περὶ τὴν Ἁγίαν Ἀποκαθήλωσιν ἔδαφος ὅπως ἀπαλλαχθῶσιν αἱ πλάκες, ἃς συνέτριψαν οἱ προσκυνηταί· δεύτερον, ὁ μέγας κουμπὲς ἔσωθεν μὲν ἀσβέστῳ χρισθῇ, ἔξωθεν δὲ ἐκ νέου μολυβδοσκεπασθῇ· τρίτον, ὅπως πλακοστρωθῶσιν αἱ εἰς τὰ Κατηχού-

μενα ἐκκλησίαι αὐτῶν καὶ χρισθῶσι, καὶ ὅπως ἐκεῖ κελλία κατασκευασθῶσι· τέταρτον, ὅπως ὅλα τὰ μέρη τοῦ ναοῦ, τὰ δεόμενα καὶ μικρᾶς τινος ἐπισκευῆς, ἄνω καὶ κάτω, ἐπισκευασθῶσιν, ἐν οἷς καὶ ὁ ναὸς τῆς Εὑρέσεως τοῦ τιμίου Σταυροῦ· πέμπτον, τὴν ἔμπροσθεν τῆς Ἁγίας Πόρτας αὐλὴν πλακοστρωθῆναι· ἕκτον, ὅπως τὸ ἱερὸν Κουβούκλιον στιλβωθῇ ἔξωθεν καὶ σιδήροις περιζωσθῇ· ἕβδομον, ὅπως τὰ σύνορα τῶν Κοπτῶν καὶ Συριανῶν ἐκ τῶν Ῥωμαίων μετατοπισθέντα τοποθετηθῶσιν, [ὡς τὸ πρότερον]· ὄγδοον δὲ καὶ τελευταῖον, ὅπως τὰ ὄπισθεν ῥηθέντα κελλία ὑπὸ τῶν Ῥωμαίων κωλυθέντα κατασκευασθῆναι κατασκευασθῶσι. Τὸ δὲ χείριστον πάντων, ὅτι οἱ θρασεῖς οὗτοι ἐζήτουν, ὅπως κρημνίσωσι καὶ ἐκ μέσου ἄρωσι δύο πεσσούς (ποδαρικὰ) ἐκ τῶν κρατούντων ἄνωθεν τὸν μέγαν κουμπέν· ὅπερ ἦν ἐπικίνδυνον. Πολλῶν δὲ λογομαχιῶν γενομένων μεταξὺ ἡμῶν τε καὶ αὐτῶν (οἱ Φράγκοι γὰρ οὐκ ἦσαν παρόντες, ἐπεὶ εἶπον οὐ μέλει αὐτοῖς), εἶπεν ὁ μουλλᾶς· "Τὰ τοιαῦτα χρήζουσι σκέψεως μεγάλης· ὅθεν ἀνάγκη ἀναβολῆς ὀλίγου καιροῦ", καὶ οὕτως ἐξῆλθον πάντες ἐκ τοῦ ναοῦ.

Καὶ οἱ μὲν Ἀρμένιοι ἐβιάζοντο ἄρξασθαι τῆς ἐπισκευῆς, ἡμεῖς δὲ ἐλάβομεν μέτρα μεγάλα, ὅπως ἀντιστῶμεν καὶ μὴ ἀφῶμεν τοὺς Ἀρμενίους ἄρξασθαι τῆς τοιαύτης ἐπιχειρήσεως. Καὶ δὴ μὴ φεισάμενοι ἐξόδων κατεπείσαμεν τοὺς κρατοῦντας πρὸς ἀνοχὴν καὶ ἀναβολὴν καιροῦ, ἕως οὗ γράψαντες τῷ μακαριωτάτῳ τῶν Ἱεροσολύμων λάβωμεν ἐκεῖθεν ἀπόκρισιν· ὃ δὴ καὶ ἐγένετο· Τῇ δὲ θ' σεπτεμβρίου ἦλθεν ἀπόκρισις τοῦ σατράπου τῆς Αἰγύπτου Μεεμὲτ-Ἀλῆ-πασᾶ περὶ τῆς ὑποθέσεως τῶν Φράγκων, ὅτι περὶ θρησκευτικῶν ὑποθέσεων καὶ ἐκκλησιαστικῶν οὐ μέλει αὐτῷ, καὶ οὐ θέλει ἐπεμβαίνειν οὐδὲ συναναμίγνυσθαι, ὡς ἴδια ταῦτα τῇ ὑπερτάτῃ δυνάμει τοῦ σουλτάνου καὶ τοῦ σεχουλισλὰμ κτλ. Ἐχάρημεν οὖν, δοξάσαντες τὸν Κύριον· ἀλλ' ἐλυπήθημεν ὀλίγον, μείναντες ἄπρακτοι διὰ τὴν ἐπανάκτησιν τοῦ ῥηθέντος ἐνΙόππῃ οἴκου τότε.

Τῇ δὲ ιζ' τοῦ αὐτοῦ μηνὸς οἱ Ἀρμένιοι συγκαλέσαντες τὸν μουλλᾶν καὶ τοὺς λοιποὺς, ἔτι δὲ καὶ ἡμᾶς, ἀπῆλθον εἰς τὴν Βη-

θλεέμ, ὅπου ἀναγνωσθέντος τοῦ ὁρισμοῦ ἐζήτουν ἐπισκευάσαι κἀκεῖ τὰ ἄνω καὶ κάτω καὶ τὰ ἔσω καὶ ἔξω, καὶ πλακοστρῶσαι ὅλον τὸν ναόν, ὅπου ἵστανται καὶ ψάλλουσι, καὶ τὰς κολώνας καὶ ἄλλα πολλά· τὸ δὲ σκληρότερον, ὅτι διαστρέφοντες τὰ ῥητὰ τοῦ ὁρισμοῦ ἐζήτουν, ἵνα μερισθῇ ἐκεῖνος εἰς δύο, ἀπὸ τῆς δυτικῆς σιδηρᾶς πύλης κατ' εὐθεῖαν ἕως τῶν ὡραίων πυλῶν τοῦ Ἁγίου Βήματος· ὑπέσχοντο δὲ διὰ τοῦτο τῷ μουλλᾷ 50000 γρόσια, καὶ διὰ τοῦτο ἐβοήθει αὐτοῖς. Τρεῖς ἡμέρας διήρκεσεν ὁ ἀγὼν περὶ τὰ τοιαῦτα ἐν Βηθλεέμ, διότι οἱ Ἀρμένιοι καὶ τὸν μουλλᾶν καὶ τὸν μουσελὴμ εἶχον εἰς τὸ ἐκεῖ μοναστήριον αὐτῶν καταλύοντας, καὶ ἐφιλοφρόνουν καὶ καθωδήγουν ὑπὲρ ἑαυτῶν, καὶ ἃ μὲν ἐδίδοσαν, ἃ δὲ ὑπέσχοντο. Ἀλλ' εἰς τὰ αἰτήματα τῶν Ἀρμενίων οὗτοι οὐκ ἠδυνήθησαν καταπεῖσαι ἡμᾶς ὑπενδοῦναι, οὔτε μὴν βίαν τινὰ ἐπεχείρησαν θεία χάριτι· κατεπείσαμεν δὲ ἡμεῖς μᾶλλον αὐτούς τε καὶ τοὺς κριτὰς καὶ ἄρχοντας, καὶ ἐλάβομεν προθεσμίαν ἑξήκοντα ἡμερῶν, ὅπως γράψωμεν εἰς τὴν Κωνσταντινούπολιν τῷ μακαριωτάτῳ Ἱεροσολύμων· ὃ καὶ ἠξιώθημεν ἁδραῖς δόσεσιν. Ὅθεν ἡτοιμάσθησαν ἐπιστολαὶ τὰ πάντα ἐκτεταμένως καὶ ἀκριβῶς δηλοποιοῦσαι οὐ μόνον πρὸς τὸν μακαριώτατον, ἀλλὰ καὶ πρὸς τὸν παναγιώτατον οἰκουμενικὸν πατριάρχην Γρηγόριον Βον καὶ πρὸς ὅλον τὸ γένος, καὶ πρὸς τούτοις πρὸς τὴν ἁγίαν καὶ ἱερὰν σύνοδον τῆς εὐσεβεστάτης Ῥωσσίας καὶ τὸν κραταιότατον αὐτοκράτορα Νικόλαον διὰ τοῦ ἐκεῖσε παρεπιδημοῦντος λόγῳ βοηθείας ἁγίου διαδόχου κυρίου Ἱεροθέου, ἀρχιεπισκόπου Θαβωρίου ὄρους· ταύτας δὲ τὰς ἐπιστολὰς διὰ δύο ἀδελφῶν ἀπεστείλαμεν, ὅπως καὶ διὰ στόματος, ἃ εἶδον καὶ ἤκουσαν, ἐκφράσωνται.

Οὗτοι μὲν οὖν ἔφθασαν εἰς Βασιλεύουσαν τῇ ιθ' ὀκτωβρίου· οὔσης δὲ τότε αὐτόθι εἰς βαθμὸν μέγαν τῆς πανώλης νόσου, οὐκ ἠδυνήθη ἡ αὐτοῦ μακαριότης ἐντυχεῖν παρευθὺς τῷ τότε πατριάρχῃ Γρηγορίῳ καὶ τοῖς λοιποῖς ἐγκρίτοις τοῦ γένους. Διαδοθείσης δὲ τῆς φήμης εἰς τὴν Κωνσταντινούπολιν περὶ τῆς τῶν Ἀρμενίων πρὸς τὰ προσκυνήματα ἐπιβουλῆς, θλῖψις κατέλαβε τοὺς εὐσεβεῖς, ἀλλ' ἐπομένως καὶ ζῆλος ἔνθεος· ἀλλ' ἡ νόσος τὰ πάντα

ἀνέτρεψε, καὶ μόλις τῇ κ' γενομένης συνελεύσεως ἐν τῷ Πατριαρχείῳ γενικῆς ἀνεγνώσθησαν αἱ ἀπὸ Ἱεροσολύμων ἐπιστολαί. Ἀπεφασίσθη οὖν γραφῆναι ἀναφορὰν τῷ κρατεῖ καὶ δοθῆναι· ἀλλ' ἐπειδὴ κατέλαβεν ὁ μὴν τῆς τῶν Τούρκων νηστείας (Ῥαμαζάν), διὰ τοῦτο ἐφάνη ὁ καιρὸς ἀσύμφωνος. Γενομένων δὲ ἄλλων τεσσάρων συνελεύσεων καὶ ἀναφορᾶς γραφείσης, ὡς εἶδεν, μόλις δεδώκαμεν αὐτὴν τῷ κρατεῖ τῇ κα' Ἰανουαρίου αωλζ' (1837), διότι οἱ περὶ τὴν βασιλικὴν αὐλὴν ὑπὸ τῶν Ἀρμενίων ὑποκινούμενοι διὰ τοῦ χρυσίου ἐπεχείρουν καταπεῖσαι ἡμᾶς ἐνδοῦναι εἰς τὰ θελήματα τῶν Ἀρμενίων, λέγοντες· "Ὑμεῖς τοσάκις ἐπεσκευάσατε τὸν ναὸν τῆς Ἀναστάσεως καὶ τῆς Γεννήσεως ἐν Βηθλεέμ· ἄφετε οὖν ἅπαξ μόνον τοὺς Ἀρμενίους, ὅτι καὶ αὐτοί εἰσι χριστιανοί", καὶ ἄλλα πολλά. Μὴ πειθομένων δὲ ἡμῶν προδοῦναι τὰ ἀνέκαθεν δίκαια προνόμια ἡμῶν, ἐκεῖνοι συγκαταβαίνοντες τάχα εἶπον ἡμῖν ὅπως στέρξωμεν, ἵνα ἡ τοιαύτη ἐπισκευὴ γένηται παρ' ἡμῶν τε καὶ τῶν Ἀρμενίων· ἀλλ' οὐδὲ τοῦτο ἐδέχθημεν. Ὅθεν ἡ Ὑψηλὴ Πόρτα ἔλαβε μὲν ψυχρότητα κἀθ' ἡμῶν, βιασθεῖσα δὲ πλαγίῳ τρόπῳ [1] ἀπέστειλεν ὁρισμὸν τοῖς ἐν Κωνσταντινουπόλει Ἀρμενίοις, ὅπως γράψωσι τοῖς ἐν Ἱερουσαλὴμ Ἀρμενίοις παύσασθαι πρὸς καιρὸν τοῦ ἐπιχειρήματος τῆς ἐπισκευῆς εἴς τε τὸν ναὸν τῆς Ἀναστάσεως, τῆς Βηθλεὲμ καὶ τοῦ ὄρους τῶν Ἐλαιῶν· εἶτα δὲ καὶ ὁρισμὸς ἡμῖν ἐδόθη δι' αὐτογράφου βασιλικοῦ· δι' οὗ ὁρισμοῦ οἱ μὲν προεκδοθέντες τοῖς Ἀρμενίοις τρεῖς ὁρισμοὶ κατηργήθησαν ἀκυρωθέντες, ἡ δὲ ἐπισκευὴ ἀνετέθη εἰς τὸ γένος ἡμῶν τῶν Ῥωμαίων τῷ ,αωλζ' (1837), φεβρουαρίου ιθ'. Καὶ ταῦτα μὲν ἐν Κωνσταντινουπόλει ἐγένοντο.

Ἐν δὲ τῇ Ἱερουσαλὴμ ἀπὸ τῆς ιθ' σεπτεμβρίου μέχρι τῆς ιθ' φεβρουαρίου συνέβησαν τὰ ἑξῆς. Τῇ ις' τοῦ ,αωλς' (1836) ἦλθεν εἰς Ἱερουσαλὴμ ὁ υἱὸς τοῦ βασιλέως τῆς Γαλλίας, Λουδοβῖκος ὀνόματι, προσκυνήσων, καὶ εἰς τιμὴν αὐτοῦ εἴκοσι καὶ δύο κανόνια ἐρρίφθησαν, ἐξελθόντων εἰς ὑπάντησιν αὐτοῦ τοῦ μουσελλὴμ καὶ πάντων τῶν προκρίτων τῆς Ἱερουσαλὴμ καὶ πάντων τῶν

[1] [Νοητέον ὑπὸ τῆς Ῥωσικῆς Κυβερνήσεως].

ἐθνῶν, Ῥωμαίων, Φράγκων, Ἀρμενίων καὶ τῶν Ἑβραίων· τῇ δὲ ἐπαύριον ὁ μουσελὴμ καὶ οἱ λοιποὶ ἀπελθόντες εἰς τὴν ἁγίαν Βηθλεὲμ κατ' ἐπιταγὴν τοῦ Μεεμὲτ-Ἀλῆ-πασᾶ, προσταχθέντος ἐκ τῆς Πόρτας, ἠνέῳξαν τὴν ῥηθεῖσαν πύλην τῶν Φράγκων καὶ τῇ θ' ὥρᾳ τῆς αὐτῆς ἐλιτάνευον οἱ Φράτορες δι' αὐτῆς εἰς τὸ Ἅγιον Σπήλαιον· μετ' ὀλίγον δὲ ἐλθὼν ὁ Ἀρμενοηγούμενος ἔβαλε σκάλαν θέλων κρεμάσαι εἰκόνα ἐπάνω τῆς πύλης ἔσωθεν· ἀλλ' οἱ Φράτορες ἰδόντες ἔδραμον, καὶ ῥίψαντες τὴν σκάλαν ἐξυλοφόρτωσαν καλῶς καὶ τοὺς Ἀρμενίους. Τῇ δ' αὐτῇ ἑσπέρᾳ, ἐκεῖ ὄντων τοῦ μουσελὴμ καὶ λοιπῶν, ἀπῆλθε καὶ ὁ μουλλᾶς, συμπαραλαβὼν καὶ ἡμᾶς, ὅπως θεωρήσῃ καὶ λάβῃ τέλος ἡ καθ' ἡμῶν τῶν Ἀρμενίων ὑπόθεσις. Τῇ οὖν ἐπαύριον ιη' ὀκτωβρίου, συναχθέντων πάντων εἰς τὴν μεγάλην ἐκεῖ ἐκκλησίαν, ἀνεγνώσθη πάλιν ὁ εἰς χεῖρας τῶν Ἀρμενίων ὁρισμός, καὶ ἤρξαντο πάλιν αἱ μεταξὺ ἡμῶν τε καὶ αὐτῶν λογοτριβαί, μὴ ἐνδιδόντων ἡμῶν εἰς κανὲν θέλημα καὶ ζήτημα τῶν Ἀρμενίων· παρ' ὧν ὁ μουλλᾶς προκαθοδηγηθεὶς εἶπεν ἡμῖν· "Δότε τοῖς Ἀρμενίοις τὸ κλειδίον τῆς πύλης ταύτης", δεικνύων τὴν ῥηθεῖσαν βόρειον πύλην. Ἀπεκρίθημεν ἡμεῖς· "Ἔχουσιν οἱ Ἀρμένιοι κλειδίον ταύτης τῆς πύλης· ἵνα τί καὶ τὸ ἡμῶν ζητοῦσι"; Εἶπεν ὁ μουλλᾶς· "Περιττὸν ὑμῖν τὸ κλειδίον, ἔχετε γὰρ ἄλλας θύρας, δι' ὧν εἰσέρχεσθε εἰς τὸν ναὸν τοῦτον". Εἴπομεν ἡμεῖς· "Ἄνευ προσταγῆς βασιλικῆς κλειδίον οὐ δίδομεν". Τότε ὁ μουλλᾶς θυμωθεὶς εἶπε τοῖς Ἀρμενίοις· "Ἐκβάλετε ὑμεῖς τὴν κλειδαριαν ἐκείνην καὶ τίθεσθε ἄλλην, καὶ αὐτοὶ ἐχέτωσαν τὸ κλειδίον αὐτῶν ἄχρηστον". Εὐθέως δὲ οἱ Ἀρμένιοι ἄλλην ἐκεῖ ἑτοίμην ἔχοντες, τὴν μὲν ἐξήλωσαν, ἰδίαν δὲ ἔβαλον. Εἶτα κατεβίβασαν τὴν ἐπὶ τῆς θύρας ἐκείνης ἡμῶν εἰκόνα, ὅπως μὴ μετέχωμεν ὅλως ἐκεῖ. Ἔπειτα ἀναβάντες τὴν ὀροφὴν ἐκρέμασαν ἀλύσεις διὰ κανδήλας, μετὰ δὲ κατεβίβασαν τὰς περὶ τὴν βόρειον πύλην ποδίας ἡμῶν· καὶ τὰς ἱερὰς σημαίας, δι' ὧν λιτανεύομεν, ἦραν ἐκεῖθεν· ἐκρέμασαν δὲ ἔνδον τοῦ σπηλαίου ἑπτὰ ἔτι εἰκόνας καὶ πέντε κανδήλας, καὶ εἰς τὸν ἁγιώτατον Τόπον τῆς Γεννήσεως, ὑπὸ τὴν ἁγίαν τράπεζαν, προ-

σέθεντο δύο κανδήλας καὶ ἐβούλοντο βαλεῖν καὶ ποδιας ἐξ ἡμισείας καὶ ἄλλα. Καταβοώντων δὲ ἡμῶν, ὅτι τὰ τοιαῦτα παρὰ τὸν ὑψηλὸν ὁρισμὸν γίνονται, καὶ ὅτι δηλώσομεν δι' ἀναφορᾶς ἡμῶν τῷ κρατεῖ, εἶπεν ὁ μουσελὴμ τῷ μουλλᾷ· "Ἀληθῶς ὁ εἰς χεῖρας τῶν Ἀρμενίων ὁρισμὸς οὐδὲν τῶν τοιούτων, ὧν πράττουσιν, ἀναφέρει, ἀλλ' ἢ μόνον περὶ ἐπισκευῆς". Τότε ὁ μουλλᾶς εἶπεν· "Οὐκοῦν ἱκανὰ ταῦτα· ἀπέλθωμεν ἤδη εἰς Ἱερουσαλὴμ κἀκεῖ αὖριον συμβιβάζομεν τὴν ὑπόθεσιν.

Ὑποστρεψάντων δὲ πάντων, μετὰ τρεῖς ἡμέρας ἤρξαντο καὶ κρισολογίας περὶ τῆς ἐπισκευῆς τῶν δύο ναῶν, τοῦ ἐν Βηθλεὲμ καὶ τῆς Ἀναστάσεως, καὶ ὁ μουλλᾶς ἔγραφε καὶ κατηρίθμει τὰ μέρη, χαριζόμενος τοῖς Ἀρμενίοις, καὶ ἔγραφεν ἱλάμια ὑπὲρ αὐτῶν κτλ. Μετὰ δὲ ταῦτα μετακαλεσάμενος ἡμᾶς εἶπε κρυφίως, ὅτι ἐὰν θέλωμεν ἀνατραπῆναι τὰ τῶν Ἀρμενίων, νὰ δώσωμεν αὐτῷ πεντήκοντα χιλιάδας γρόσια, ὅπως τελειώσῃ ἡμῖν, ὡς θέλομεν τὰ πράγματα, ἐπεὶ ταῦτα αὐτῷ οἱ Ἀρμένιοι ὑπέσχοντο· ἀλλ' ἡμεῖς οὐκ ἐδώκαμεν αὐτῷ οὐδ' ὀβολόν, ἐλπίζοντες εἰς τὴν θείαν βοήθειαν. Αὐτὸς δὲ μετὰ ταῦτα ἀποστείλας τζοχαδάρην αὐτοῦ εἰς τὴν Βηθλεὲμ ἐξέβαλε τὴν κλειδαρίαν τῶν Ἀρμενίων καὶ ἔβαλε πάλιν τὴν προτέραν, δηλαδὴ τὴν ἡμετέραν, καὶ οὕτω ἐγένετο πάλιν κοινὴ ἡ πύλη. Περὶ δὲ τὰ τέλη νοεμβρίου ἦλθεν εἰς Ἰόππην ἄλλος μουλλᾶς καὶ οἱ Ἀρμένιοι ἐπαύσαντο τοῦ κρισολογεῖν· ἐλθόντος δὲ τοῦ ἄλλου εἰς τὰς η' τοῦ δεκεμβρίου, μετὰ πεντὲξ ἡμέρας ἀπῆλθον πρὸς αὐτὸν καὶ παρεκίνουν ὑποσχόμενοι, ὅπως τελειώσῃ τοὺς σκοποὺς αὐτῶν. Ἐν τούτοις δὲ τῇ κ' δεκεμβρίου, συμβάντος σεισμοῦ, ἐν μὲν τῇ Γαλλιλαίᾳ κατεστράφησαν ἡ Τιβεριὰς καὶ ἡ Σαφάτ, ἐν αἷς πολλοὶ κάτοικοι Ἑβραῖοι καὶ ἄλλοι κατεχώθησαν· ἐν δὲ τῇ Ἱερουσαλὴμ ἐκρημνίσθη πάλιν ὁ ἐν τῷ ὄρει τῶν Ἐλαιῶν μιναρὲς καὶ ὁ ἐν τῇ ἁγίᾳ Σιὼν· διερράγησαν δὲ καὶ πολλοὶ ὑψηλοὶ οἶκοι τῶν Τούρκων καὶ πάλιν — ὦ Θεοῦ κριμάτων — ὁ κουμπὲς τοῦ ἱεροῦ Καθολικοῦ· ὅν, λαβόντες παρὰ τοῦ μουλλᾶ καὶ τῶν κριτῶν ἄδειαν, ἐζώσαμεν διὰ σιδήρων, κρίκους μεγάλους κύκλῳ περιθέντες, ὡς περιζώννυνται τὰ βαρέλλια.

Κατὰ δὲ τὰς ἡμέρας ταύτας καταγινομένων τῶν Ἀρμενίων μετὰ τοῦ νέου μουλλᾶ περὶ τῆς ἐπιχειρήσεως τῆς ἐπισκευῆς, ἔφθασεν ἡ παρὰ τῶν ἐν Κωνσταντινουπόλει οἰκείων αὐτῶν ἐπιστολὴ τῷ ,αωλζ′ (1837) δεκεμβρίου κς′, διαγγέλλουσα, ὡς εἴρηται, τὴν δι' ἐντόνου προσταγῆς παῦσιν τοῦ τοιούτου ἐπιχειρήματος· καὶ δὴ κατέπαυσαν, κουφίσαντες καὶ ἡμᾶς τῶν φροντίδων. Ἐκδοθέντος οὖν, ὡς εἴρηται, τοῦ βασιλικοῦ ὁρισμοῦ τῇ ιθ′ φεβρουαρίου ,αωλζ′, πρὸς ἀναίρεσιν τῶν προεκδοθέντων τριῶν ὁρισμῶν τοῖς Ἀρμενίοις, ἔλαβε τοῦτον ὁ μακαριώτατος Ἱεροσολύμων καὶ ἀπέστειλεν εἰς τὴν Ἱερουσαλήμ· ἐκεῖθεν δὲ ἀπεστάλη εἰς Αἴγυπτον πρὸς τον Μεεμὲτ-Ἀλῆ-πασᾶν. Ἐπικυρωθεὶς δὲ παρ' ἐκείνου δι' ἰδίου πουγιουρτίου ἐπεστράφη πάλιν εἰς Ἱερουσαλήμ, ὅπου εἰς τὸν Μεχχεμὲ ἀναγνωσθείς, ὡς ἔθος, ἐπὶ παρουσίᾳ τῶν προκρίτων, ἐπόμενον ἦν ὅπως ἐνεργηθῶσι τὰ προσταττόμενα· πρῶτον μέν, ὅπως οἱ Ἀρμένιοι ἀπέχωσι τοῦ ὄρους τῶν Ἐλαιῶν, παύοντες τοῦ εἶναι κύριοι εἰς τὰ προσκυνήματα καὶ τὸν ναόν· δεύτερον δέ, ὅπως τὰ διὰ τοῦ μουλλᾶ χάριν αὐτῶν ἐν Βηθλεὲμ τελεσθέντα καταργηθῶσι, καὶ τρίτον, ὅπως γένηται κέσφι τῶν κριτῶν περὶ τῆς ἐπισκευῆς τῆς παρ' ἡμῶν. Ἀλλ' οἱ Ἀρμένιοι ἔχοντες ἐν μὲν Αἰγύπτῳ παρὰ τῷ Μεεμὲτ-Ἀλῇ-πασᾷ τὸν ῥηθέντα Μπογὸς-ἀγᾶν (ὃς καὶ Μπογὸς-πεῖς ἠξιώθη παρὰ τοῦ αὐτοῦ σατράπου γενέσθαι), ἐν δὲ τῇ Ἱερουσαλὴμ τὸν χρυσόν, ἴσταντο ἐδραῖοι καὶ ἀκλινεῖς. Ἐν τούτοις δὲ κατὰ τὰ τέλη μαΐου τῆς παγκοσμίου τότε σχεδὸν ἐνσκηψάσης νόσου χολέρας καὶ εἰς ὅλην τὴν Συρίαν, ἐκεῖθεν δὲ καὶ εἰς τὴν Παλαιστίνην καὶ Ἱερουσαλήμ, ἕκαστος ἐσκόπει τὸ τῆς ζωῆς καὶ τὸ τοῦ θανάτου. Τότε δὲ τῇ η′ ἰουνίου καταβάντες οἱ Φράγκοι εἰς τὸν Μεχχεμὲ ἐνεφάνισαν ὁρισμὸν τῆς Πόρτας, ὁμοίως καὶ τοῦ Μεεμὲτ-Ἀλῆ-πασᾶ, διαλαμβάνοντα περὶ τοῦ ὑπὸ τῶν Ἀρμενίων κατεξουσιασθέντος καὶ οἰκοδομηθέντος ὄρους τῶν Ἐλαιῶν· προσεκάλεσαν δὲ ἐκεῖ καὶ τοὺς Ἀρμενίους μόνον. Εἰπόντος δὲ τοῦ μουλλᾶ καὶ περὶ ἡμῶν, εἶπον οἱ Φράτορες· "Οἱ Ῥωμαῖοι οὐδεμίαν μετοχὴν ἔχουσιν εἰς τὸ ὄρος τῶν Ἐλαιῶν ἀλλ' ἢ λειτουργεῖν μόνον δὶς τοῦ ἐνιαυτοῦ· ἡ δὲ κρίσις ἡμῶν ἐστι

κατὰ τῶν Ἀρμενίων, οἰκειοποιησαμένων αὐτὸ καὶ οἰκοδομὰς καὶ νεωτερίσματα ἐκεῖ ποιησαμένων". Παριστάντων οὖν μόνων τῶν Ἀρμενίων καὶ τῶν ὁρισμῶν ἀναγνωσθέντων, ἐζήτουν οἱ Φράτορες ὅπως, ὅσα ἐκεῖ οἱ Ἀρμένιοι ᾠκοδόμησαν, ἐκ θεμελίων καθαιρεθῶσι (καὶ πρὸ πάντων ἀφ' ὅλα ἡ τράπεζα, ἣν ἔκτισαν λειτουργεῖν ἔνδον τοῦ ἐκεῖ Κουβουκλίου), καταβιβασθῶσι δὲ καὶ αἱ εἰκόνες καὶ κανδῆλαι κτλ., ἅπερ ἐκεῖ ἐκρέμασαν, καὶ ἐνὶ λόγῳ μὴ ἔχωσιν ἐξουσίαν, εἰμὴ προσκυνεῖν μόνον, ὡς πρότερον, καὶ λειτουργεῖν ὁἷς τοῦ ἐνιαυτοῦ. Πολλῶν λογομαχιῶν γενομένων μεταξὺ Φρατόρων καὶ Ἀρμενίων, ὁ μουλλᾶς καὶ οἱ λοιποὶ τοῖς Ἀρμενίοις προσέχοντες μᾶλλον, ἀφ' ὧν ὁ πόρος τῆς κυβερνήσεως αὐτῶν, διέλυσαν τὴν συνέλευσιν, ἀναβολὴν καιροῦ θέμενοι.

Μετὰ δὲ τέσσαρας πάλιν ἡμέρας συνελθόντων αὐτῶν καὶ γενομένων τῶν αὐτῶν λογομαχιῶν, μετὰ θρασύτητος μάλιστα ἑκατέρων, ἐγένετο ἀπόφασις, ὅπως τῇ ἐπαύριον, ἀναβάντες πάντες εἰς τὸ ὄρος τῶν Ἐλαιῶν καὶ παρατηρήσαντες, ἐνεργήσωσι τὸν ὁρισμόν, ὡς δεῖ. Ἀνεχώρησαν οὖν οἱ Φράτορες ἐν πολλῇ χαρᾷ, καὶ φανταζόμενοι ἑαυτοὺς κυρίους τοῦ ὄρους τῶν Ἐλαιῶν, ἔδωκαν τῇ ἐπαύριον τοῖς ὀπαδοῖς αὐτῶν Ἀραβοκατολίκοις σκεπάρνια, ἀξίνας, δικέλλας κτλ., καὶ ἀπέστειλαν εἰς τὸ ὄρος τῶν Ἐλαιῶν, εἰπόντες, ὅτι, ὅταν δοθῇ αὐτοῖς τὸ σημεῖον, εὐθέως νὰ ἄρξωνται κρημνίζειν τὰ τῶν Ἀρμενίων· ἐψεύσθησαν δὲ τῶν ἐλπίδων, διότι οἱ Ἀρμένιοι ἐκείνῃ τῇ νυκτὶ ὠργάνισαν ἀναβολὴν ἄλλην καιροῦ, καὶ τῷ πρωΐ, περιμενόντων τῶν Φράγκων σὺν γυναιξὶ καὶ τέκνοις εἰς τὸ ὄρος τῶν Ἐλαιῶν ἀπὸ πρωΐας μέχρις ἑσπέρας, ἤκουσαν ὅτι οἱ κριταὶ ἀπεφάσισαν πάλιν, ὅπως, γράψαντες τῷ Μεεμὲτ-Ἀλῆ-πασᾷ εἰς Αἴγυπτον, ἐρωτήσωσιν αὖθις περὶ τοῦ πρακτέου καὶ κατ' ἐκεῖνο ποιήσουσιν. Οὕτως οὖν κατέβησαν ἀπὸ τοῦ ὄρους τῶν Ἐλαιῶν ἄπρακτοι οἱ Φράγκοι, κατέχοντες μὲν τοὺς λωστούς, δικέλλας κτλ., χλευαζόμενοι δὲ ὑπὸ τῶν Τούρκων καὶ Ἑβραίων καὶ τωθαζόμενοι ὑπὸ τῶν ὀρθοδόξων. Ἀπεστάλη οὖν ταχυδρόμος παρὰ τῶν Φράγκων εἰς τὴν Αἴγυπτον, ἀλλ' οὐχ εὗρεν ἐκεῖ τὸν Μεεμὲτ-Ἀλῆ-πασᾷ· ἔπλευσε γὰρ εἰς Κρήτην. Ὅθεν περιέμενε

τὴν τούτου ἐπιστροφήν, ἥτις ἐγένετο περὶ τὰ μέσα αὐγούστου· μεθ' ἡμέρας δὲ ἐνεφάνισαν αὐτῷ τὰς ἀναφοράς, ἀλλ' ἐκεῖνος τρόπῳ ἐπιτηδείῳ ὁδηγούμενος ὑπὸ τοῦ Πογός-πεϊ ἀπετίναξεν ἀποποιηθείς, "Τὰ τοιαῦτα" λέγων ὅτι "εἰσὶ μεγάλα πράγματα καὶ ἀνήκουσι τῇ Ὑψηλῇ Πόρτᾳ". Οὕτως οὖν ἄπρακτοι ἔμειναν τότε οἱ Φράτορες, κερδησάντων τὴν νίκην τῶν Ἀρμενίων.

Οὕτω πως καὶ ἡμᾶς ἐπολιτεύσατο ὁ σατράπης οὗτος Μεεμὲτ-Ἀλῆ-πασᾶς τότε διὰ τὸν ὃν ἐλάβομεν ὁρισμόν· τὸ γὰρ συστατικὸν μπουγιουρτίον τῆς αὐτοῦ ὑψηλότητος, ὅπερ ἔδωκεν ἡμῖν, οὐδὲν ὠφέλησεν ἡμᾶς· ἀπεκαθίστα γὰρ τὸ ἐν Ἱερουσαλὴμ ἐνεργὸν τῶν ἐν τῷ ὁρισμῷ γραφομένων, ὁ δὲ μουλλᾶς πλεονέκτης ὢν καὶ δύστροπος ἐζήτει παρ' ἡμῶν πρὸς τὸ τελειῶσαι τὸ θέλημα ἡμῶν 100000 γρόσια. Ὅθεν συνόδου πληρεστάτης γενομένης τῶν ἡμετέρων ἐκρίθη εὔλογον, ὅπως ἀπέλθῃ αὐτοπροσώπως εἰς Αἴγυπτον ὁ πανιερώτατος ἀρχιεπίσκοπος Λύδδης Κύριλλος, ὁ καὶ τῆς αὐτοῦ μακαριότητος ἐπίτροπος· ὃς συμπαραλαβὼν τὸν νῦν πανοσιολογιώτατον ἀρχιμανδρίτην καὶ γραμματέα τοῦ Κοινοῦ τοῦ Παναγίου Τάφου κύριον Νικηφόρον, τότε ἱεροδιάκονον ὄντα, κατῆλθεν εἰς Αἴγυπτον περὶ τὰ τέλη νοεμβρίου· ἐντυχὼν δὲ τῷ Μεεμὲτ-Ἀλῆ-πασᾷ ἔλαβε παρ' αὐτοῦ δεύτερον μπουγιουρτίον, ὅπερ προσέταττε τὸν ἐν Δαμασκῷ Σερὶφ-πασᾶν, ἔφορον ὄντα τῶν ἐν Παλαιστίνῃ πραγμάτων, ὅπως ὁ πλησιέστερος τῇ Ἱερουσαλὴμ καὶ τῶν ταύτης εἰδήμων θεωρήσῃ τὴν διαφορὰν τῶν δύο ἐθνῶν, Ῥωμαίων καὶ Ἀρμενίων, καὶ βάλῃ εἰς ἔργον τὸν βασιλικὸν ὁρισμόν. Τὸ τοιοῦτον μπουγιουρτίον λαβὼν ὁ ῥηθεὶς ἅγιος Λύδδης ἔπλευσεν εἰς Βηρυτόν, ἐκεῖθεν δὲ εἰς Δαμασκόν, καὶ τῷ Σερὶφ-πασᾷ ἐντυχὼν ἔλαβε καὶ παρ' ἐκείνου ἕτερον μπουγιουρτίον καὶ ἄνθρωπον ἴδιον αὐτοῦ, τινὰ Ἀρὶφ-ἐφένδην λεγόμενον, τὸ ἀξίωμα φετφὰ-εμινί· ὃς, κατ' αἴτησιν τοῦ αὐτοῦ ἁγίου Λύδδης, προσετάγη θεωρῆσαι ἀμερολήπτως μετὰ τῶν προκρίτων τῆς Ἱερουσαλὴμ τὰς διαφορὰς τῶν δύο ἐθνῶν, μὴ συμμιγνύων ὅλως τὸν ἀκόρεστον καὶ πλεονέκτην μουλλᾶν ἐκεῖνον. Ἐλθόντων οὖν αὐτῶν εἰς Ἱερουσαλὴμ περὶ τὰς ἀρχὰς μαρτίου τοῦ ,αωλη' ἔτους, ἤρξαντο αἱ κρισολογίαι καὶ συνελεύσεις συνεχεῖς·

ἀπῆλθον δὲ καὶ εἰς τὸ ἅγιον ὄρος τῶν Ἐλαιῶν, ὁμοίως καὶ εἰς τὴν ἁγίαν Βηθλεέμ, καὶ κατέγραψαν τὰς τῶν Ἀρμενίων προσθήκας καὶ καινοτομίας. Ἀλλ' οἱ Ἀρμένιοι διὰ τοῦ Μπογός-πεϊ καὶ τοῦ χρυσοῦ τὰ πάντα κατέστησαν νεκρὰ καὶ τὰ ἔξοδα ἡμῶν τὰ τόσα ἀνωφελῆ.

Ἐν τούτοις περὶ τὸν ἀπρίλιον μῆνα ἐνσκήπτει ἡ πανώλης νόσος ἔν τε Ἰόππῃ καὶ Ἱερουσαλήμ, καὶ αὕτη μὲν κλείεται, ὅπως μὴ διαδοθῇ καὶ πληθυνθῇ τὸ κακόν, αἱ δὲ κρισολογίαι παύουσιν. Ἀνεῳχθείσης δὲ τῆς Ἱερουσαλὴμ περὶ τὰ μέσα Ἰουνίου, τοῦ κακοῦ καταπαύσαντος ἀναχωρεῖ καὶ ὁ Ἀρὶφ-ἐφένδης, φαγὼν καὶ ἐμπλησθεὶς κατακόρως ὑπό τε τῶν Ἀρμενίων καὶ ἡμῶν· ἐξέμεσε δὲ ταῦτα καταδικασθεὶς εἰς τὸ ἐν Πτολεμαΐδι λιμάνι ἐργάζεσθαι διὰ ταῦτα καὶ ἄλλα κινήματα. Ἐν δὲ τῷ μεταξὺ οἱ Φράτορες ἀποτυχόντες τῶν σκοπῶν αὐτῶν ἔν τε Ἱερουσαλὴμ καὶ ἐν Αἰγύπτῳ, ἔγνωσαν καταφυγεῖν εἰς τὴν Γαλλίαν· εἶχον δὲ τότε θάρρος εἰς τὸν ῥηθέντα Λουδοβίκον, υἱὸν τοῦ βασιλέως αὐτῆς Φιλίππου· ὃν ἐλθόντα ἐν Ἱερουσαλὴμ καὶ παρ' αὐτοῖς καταλύσαντα βασιλικῶς περιποιήσαντο καὶ ὑπερετίμησαν, καὶ μέγαν ἱππότην τῆς Ἱερουσαλὴμ ἐχειροτόνησαν, ὅπως ᾖ ἔνθερμος ὑπερασπιστὴς αὐτῶν καὶ προστάτης· ἐφ' ᾧ καὶ τῆς Ἱερουσαλὴμ ἀναχωροῦντα παρεκάλεσαν κἀκεῖνος ὑπέσχετο καὶ ἐπλήρωσε, πρεσβείαν ὑπὲρ αὐτῶν τῷ ἑαυτοῦ πατρὶ ποιησάμενος. Προσετάγη δὲ ὁ ἐν Κωνσταντινουπόλει Γαλλικὸς πρέσβυς, ὅπως προστατεύῃ τῶν ἐν Ἱερουσαλὴμ Φρατόρων ὑπὲρ τῶν Ἁγίων Τόπων. Ὅθεν καὶ ὁ ῥηθεὶς ὁρισμὸς περὶ τοῦ θειοτάτου ὄρους τῶν Ἐλαιῶν διὰ τοῦ πρέσβεως ἐξεδόθη παρὰ τῆς Ὑψηλῆς Πόρτας, συνεργοῦντος καὶ τοῦ Ῥωσσικοῦ πρέσβεως· ἀλλ' οὐδέν, ὡς εἴρηται, ἴσχυσεν. Ὅθεν ἀπεστάλησαν ἐξ Ἱερουσαλὴμ δύο Φράτορες εἰς τὴν Κωνσταντινούπολιν, ἐκεῖθεν δὲ εἰς τὴν Γαλλίαν ἐν τοῖς Παρισίοις, ἀπαγγέλλοντες δεινοπαθῶς τὰ τῶν Ἀρμενίων ἐν τῷ ὄρει τῶν Ἐλαιῶν καινοτομηθέντα, ἅπερ ἦσαν γνωστὰ καὶ τῷ Λουδοβίκῳ, αὐτόπτῃ γενομένῳ. Τέλος δὲ προσετάγη πάλιν ὁ πρέσβυς καὶ διὰ τῶν Φρατόρων ἀνέφερε τὸ πρᾶγμα εἰς τὴν Ὑψηλὴν Πόρταν, ἣ δὲ γρά-

ψασα ὁρισμὸν ἀπέστειλεν ἴδιον βασιλικὸν ἄνθρωπον, ὅπως ἐλθὼν ἐν Ἱερουσαλὴμ θεωρήσῃ μετὰ τῶν ἐν αὐτῇ κριτῶν τὴν ὑπόθεσιν ἀμερολήπτως καὶ διὰ κοινῆς ἐκείνων ἀναφορᾶς πληροφορηθεῖσα ἀποφασίσῃ τὸ πρακτέον.

Καὶ ὁ μὲν ἄνθρωπος τῆς Πόρτας ἔπλευσεν εἰς Αἴγυπτον πρὸς τὸν Μεεμὲτ-Ἀλῆ-πασᾶν, ἐκεῖθεν δὲ εἰς Ἰόππην· εἶτα ἀπῆλθεν εἰς Ἱερουσαλὴμ τῇ ε' σεπτεμβρίου (1838), τῇ δὲ θ' τοῦ αὐτοῦ συνεκαλέσατο ἡμᾶς τε καὶ Φράγκους, εἶτα δὲ καὶ τοὺς Ἀρμενίους εἰς τὸν Μεχκεμέν· ὅπου, παρόντων ὅλων τῶν προκρίτων, ἀνέγνωσε τὸν ὑπὲρ οὗ ἐστάλη ὁρισμόν. Καταβοώντων δὲ τῶν Ἀρμενίων τῶν Φράγκων καὶ ἀπολογουμένων, τέλος ἐγένετο ἀπόφασις, ὅπως μετὰ δύο ἡμέρας ἀπελθόντες εἰς τὸ ἅγιον ὄρος τῶν Ἐλαιῶν θεωρήσωσι τὴν ὑπόθεσιν ἐκείνην ἐν πρώτοις, καὶ εἶτα διελύθη ἡ συνέλευσις· τῇ δὲ ἐπαύριον οἱ Φράτορες διὰ τοῦ αὐτῶν δραγουμάνου ἔστειλαν ἡμῖν εἴδησιν λέγοντες, ἐὰν θέλωμεν κρημνισθῆναι τὰς ἐν τῷ ὄρει τῶν Ἐλαιῶν οἰκοδομὰς τῶν Ἀρμενίων, ἀνάγκη ὅπως ἐσμὲν σύμφωνοι αὐτοῖς κατὰ τῶν πανούργων Ἀρμενίων· ὑποσχεθέντων δὲ ἡμῶν, τῇ ιβ' τοῦ αὐτοῦ μηνὸς ἀνῆλθον ἅπαντες οἱ κριταὶ καὶ ὁ βασιλικὸς ἄνθρωπος καὶ τὰ τρία ἔθνη, Ῥωμαῖοι Φράγκοι καὶ Ἀρμένιοι, καὶ γενομένων πολλῶν λόγων ἀπεφασίσθη τέλος πάντων ὑπὸ τοῦ ἐκ τῆς Πόρτας σταλέντος καὶ τῶν κριτῶν ὁ ἐκ θεμελίων κρημνισμὸς τῶν Ἀρμενικῶν οἰκοδομῶν, καὶ ὅπως ὁ ναὸς καὶ τὸ προσκύνημα ἀποκατασταθῇ ὡς καὶ πρότερον διὰ τὰς ἑξῆς αἰτίας· α') ἔνδον τοῦ ἱεροῦ Κουβουκλίου, ὅπου τὰ ἴχνη τοῦ Κυρίου, ἦν μεχράπ, προσκύνημα τῶν Τούρκων· β') ὅτι ἐτόλμησαν οἱ Ἀρμένιοι σταυροὺς καὶ εἰκόνας βαλεῖν ἐκεῖ, ὅπερ, ὡς ἁπάδον τῇ τῶν Μουσουλμάνων θρησκείᾳ, οὐδὲν ἄλλο γένος ἐτόλμησε· γ') ὅτι καὶ τὰ κελλία, ἅπερ ἐκεῖ ἔκτισαν, εἰσὶ πρεσκεκολλημένα τῷ ἐκεῖ μιναρέ, ἀφ' οὗ τὸ τοῦ Μωάμεθ ὄνομα κηρύττεται. Πρὸς ταῦτα πάντα ἀνεβόησαν οἱ Ἀρμένιοι, ἔκραξαν τάχα ἀπολογούμενοι καὶ δικαιολογούμενοι, ἀλλ' οὐδὲν ἤνυσαν.

Τῇ δὲ νυκτὶ ἐκεῖνοι περιῆλθον οἱ Ἀρμένιοι τοὺς οἴκους τῶν κριτῶν, μουλλᾶ καὶ μουσελὴμ καὶ τῶν λοιπῶν, δίδοντες καὶ ὑπο-

σχόμενοι [= ἀργύρια]· προσέπεσον καὶ τῷ ὑπὸ τῆς Πόρτας σταλέντι, ὅπως ἀνατραπῇ ἡ ἀπόφασις· ἀλλ' αὐτὸς οὐκ ἠθέλησε λαβεῖν, φοβούμενος, ὡς ἔλεγε, τοὺς ἀποστείλαντας αὐτόν, προστάξαντας ὅπως ἀδωροδοκήτως καὶ ἀμερολήπτως ἐξετάσῃ καὶ κρίνῃ. Τῇ δὲ ιγ' τοῦ αὐτοῦ μηνὸς συνελθόντες ἅπαντες εἰς τὸν Μεχκεμὲ καὶ δοθέντος φετφᾶ, ἤτοι νομικῆς ἀποφάσεως, ἐγράφη ἰλάμι. ἤτοι διαμαρτύρησις καὶ βεβαίωσις, ὅτι δίκαιον ἵνα κρημνισθῶσι τὰ ἐν τῷ ὄρει τῶν Ἐλαιῶν [κτίρια] τῶν Ἀρμενίων· ὑπογράψαντες δὲ καὶ τὰς ἑαυτῶν σφραγῖδας βαλόντες ἐνεχείρισαν τοῖς Φράγκοις, ὅπως ἀποστείλωσι τῷ Γαλλικῷ πρέσβει· ὃ καὶ ἐγένετο. Θλῖψιν οὖν ἄμετρον ἔλαβον οἱ Ἀρμένιοι, προβλέποντες ἤδη τὸν κρημνισμὸν τῶν οἰκοδομημάτων αὐτῶν· ἀλλ' οὖν καὶ πάλιν παρεμυθοῦντο, ἐλπίζοντες εἰς τοὺς ἐν Κωνσταντινουπόλει οἰκείους, ὡς ἀπαντήσουσιν παντοιοτρόπως· ἀλλ' ἐψεύσθησαν τῶν ἐλπίδων. Τοῦτο μόνον ἠξιώθησαν, καλῇ τύχῃ αὐτῶν, ὅπως διὰ πολλὰ αἴτια ἀναβληθῇ ὁ κρημνισμὸς καὶ συμβῇ μετὰ ἕνα χρόνον, ὡς κατωτέρω ῥηθήσεται. Ὁ δὲ τῆς Πόρτας ἄνθρωπος θέλων ἀπελθεῖν εἰς τὴν Χεβρῶνα, χάριν προσκυνήσεως τῶν τάφων Ἀβραὰμ Ἰσαὰκ καὶ Ἰακώβ, ἀπῆλθε καὶ εἰς τὴν ἁγίαν Βηθλεέμ, ὅπου οἱ ἡμέτεροι σὺν τοῖς Φράγκοις ἐποίησαν αὐτῷ τὸ ἄριστον· ἦν δὲ μετ' αὐτοῦ καὶ ὁ μουλλᾶς καὶ ἄλλοι· οἱ δὲ Φράγκοι ἔχαιρον, νομίζοντες ὅτι βούλεται κἀκεῖ γράψαι. Ἀλλ' ἐκεῖνος περιελθὼν ἐκεῖνον τὸν μέγαν ναὸν καὶ περιεργασθεὶς τὰ ἄνω καὶ κάτω, καὶ μάλιστα τὸ Ἅγιον Σπήλαιον, ἐξῆλθε μηδὲν εἰπών· ἐπιστραφεὶς δὲ ἐκ τῆς Χεβρῶνος εἰς τὴν Ἱερουσαλὴμ τῇ ις' τοῦ αὐτοῦ σεπτεμβρίου, εἰσῆλθε μετὰ τοῦ μουλλᾶ καὶ εἰς τὸν θεῖον ναὸν τῆς Ἀναστάσεως· ἀλλὰ κἀκεῖ περιεργασθεὶς μόνον ἐξῆλθε μηδὲν εἰπών· τῇ δὲ ἐπαύριον τοῦ αὐτοῦ αἴφνης κατῆλθεν ἐπιστραφῆναι εἰς τὰ ἴδια. Οἱ δὲ Φράτορες ἐλυπήθησαν σφόδρα· ἐνόμιζον γὰρ καὶ ἤλπιζον, ὅτι διωρίσθη γράψαι καὶ εἰς τὸν ναὸν τῆς Ἀναστάσεως τὰς καινοτομίας, ὡς ἐκεῖνοι λέγουσι, τῶν Ῥωμαίων ἡμῶν καὶ τὰ ῥηθέντα 16 κεφάλαια.

Ὁ μὲν οὖν τῆς Πόρτας ἄνθρωπος ἀπῆλθεν εἰς Βασιλεύουσαν,

εἴδησις δὲ οὐδεμία περὶ τῆς ὑποθέσεως ἠκούσθη, ἀλλ' ἦν σιωπή· ἀρξαμένου δὲ τοῦ ἔτους ,αωλθ' (1839) ἤρξαντο συρρέειν καὶ τὰ δεινὰ ἐν Ἱερουσαλήμ: ἀκρίβεια σίτου καὶ πανώλης νόσος εἰς Ἑβραίους καὶ Τούρκους, διαρκέσασα ἕως τοῦ Πάσχα σχεδόν. Σημειώσεως δὲ ἄξιόν μοι δοκεῖ, ὅτι τότε τοσούτου πλήθους ὄντος προσκυνητῶν ὀρθοδόξων τε καὶ Ἀρμενίων οὐδεὶς ἐξ αὐτῶν ἀπέθανεν, ἢ ἐκρούσθη, ἀλλ' ἐπέστρεψαν εἰς τὰ ἴδια ὑγιεῖς. Περὶ δὲ τὰ μέσα ἀπριλίου ὁ Γαλλικὸς πρέσβυς παρρησιάσας εἰς τὸν σουλτὰν Μαχμοὺτ τὴν ἀπὸ Ἱεροσολύμων τῶν κριτῶν ἀναφορὰν καὶ τὸ ἰλάμιον, ἔλαβεν ὁρισμὸν κρημνισθῆναι τὰς ἐν τῷ ὄρει τῶν Ἐλαιῶν Ἀρμενικὰς οἰκοδομάς· ἀλλ' εἴτε διὰ τὸν ἐκραγέντα πόλεμον μεταξὺ τοῦ σουλτὰν Μαχμοὺτ καὶ τοῦ Μεεμὲτ-Ἀλῆ-πασᾶ, εἴτε διὰ τὸν θάνατον τοῦ αὐτοῦ Μαχμούτ, συμβάντα τῇ ιθ' ἰουνίου, οὐκ ἐνεφανίσθη ἕως τῆς 1 σεπτεμβρίου· ὅτε ἦλθε ταχυδρόμος ἀπὸ Δαμασκοῦ φέρων πουγιουρτὶ ἐνσφράγιστον παρὰ τοῦ ἐκεῖ Σερὶφ-πασᾶ πρὸς τὸν ἐν Ἱερουσαλὴμ μουσελήμ, διαλαμβάνον ταῦτα· «Ἡμέτερε μουσελὴμ καὶ λοιποὶ πρόκριτοι τῆς Ἱερουσαλήμ, ἅμα τοῦ λαβεῖν τὸν παρὸν ἀναβάντες εἰς τὸ ὄρος τῶν Ἐλαιῶν ἐνεργήσατε τὰ εἰς τὸ περικλειόμενον σουρούτιον τοῦ βασιλικοῦ ὁρισμοῦ προσταττόμενα, καὶ κρημνίσαντες τὰ ἐκεῖ οἰκοδομηθέντα παρὰ τῶν Ἀρμενίων καταστήσατε τὸ προσκύνημα καὶ τὸν τόπον, ὡς ἦν πάλαι, χωρὶς προσθήκης, ἢ ἀφαιρέσεως, καὶ ἐνὶ λόγῳ μηδὲν παρεκτρεπόμενοι» κτλ. Ἰδόντες δὲ ὁ μουσελὴμ καὶ οἱ λοιποὶ τὴν σφοδρὰν ἀπόφασιν καὶ προσταγὴν τῆς Ὑψηλῆς Πόρτας, τοῦ Μεεμὲτ-Ἀλῆ-πασᾶ καὶ τοῦ Σερὶφ-πασᾶ, ἔκριναν ὅτι οὐκ ἔνι ἄλλως γενέσθαι, οὐδὲ τρόπος τοῦ φαγεῖν χρυσίον ἀπὸ τῶν Ἀρμενίων καὶ ποιῆσαι ἀναβολήν, ἢ μεταβολήν. Ὁ δὲ μουσελὴμ ὢν ἐντόπιος καὶ γινώσκων τοὺς Φράτορας ὅτι οὐδόλως ἢ ὀλίγα χαρίσουσιν, αὐτῇ τῇ ὥρα γράφει ἡμῖν ἰδίαις χερσὶν καὶ ἀποστέλλει ἡμῖν μυστικῷ τῷ τρόπῳ δηλοποιῶν τὰ τρέχοντα καὶ συγχαίρων· ἔγραφε δὲ εἰς τὸ τέλος, ὅτι, ἂν θέλωμεν ὅπως ἐνεργήσῃ κατὰ τὸν πόθον ἡμῶν, ἀνάγκη ἀλειφθῆναι τὸν τροχόν· ὑποσχεθέντων δὲ ἡμῶν αὐτῷ εἰς τὸ ἀποκριτικόν, ὅτι εὐχαριστηθήσεται πάντως, ἐκεῖνος τῇ ἐπαύ-

ριον πρωὶ ἀπελθὼν εἰς τὸν Μεχκεμὲ συγκαλεῖ πάντας τοὺς προκρίτους, τοὺς Φράγκους, ἡμᾶς καὶ τοὺς Ἀρμενίους, καὶ ἀναγνώσας τὰ ἐν χερσὶ προστάγματα ἠρώτησε τοὺς Φράγκους καὶ ἡμᾶς τί λέγομεν διὰ ταῦτα. Ἀπεκρίθημεν δὲ ὁμοφώνως, ὅτι κατὰ τὴν βασιλικὴν προσταγὴν ἀνάγκη οὕτω γενέσθαι· οἱ δὲ ἄθλιοι Ἀρμένιοι ταῦτα ἀκούσαντες ἔμειναν ὡς νεκροί· ἀλλ' οὖν ἀναλαβόντες ὀλίγον ἠθέλησαν εἰπεῖν τι, ἀλλ' οὐκ οὐκ εἰσηκούσθησαν. Πάλιν οὖν εἶπον· "Παρακαλοῦμεν, ὅπως ἀναβληθῇ ἡ ὑπόθεσις εἰς αὔριον". Ὁ δὲ μουσελὴμ ἐγερθείς, οὗ ἐκάθητο, εἶπεν αὐτοῖς. "Τί αὔριον καὶ μεθαύριον; ἐγὼ ἔχω ἀνάγκην τελειῶσαι ταύτῃ τῇ ὥρᾳ ἅπερ ἐπιτάττομαι ὑπὸ τοῦ αὐθέντου μου". Καὶ ταῦτα εἰπὼν εἶπε τοῖς παρεστῶσι πᾶσιν· "Ἐγὼ ἀναβαίνω ἤδη εἰς τὸ ὄρος τῶν Ἐλαιῶν, ὑμεῖς δέ, ἐὰν θέλητε, φθάσατε κατόπι". Τότε οἱ Ἀρμένιοι προσέπεσον τοῖς γόνασι τοῦ μουλλᾶ καὶ τοῦ ἀρχιγραμματέως ζητοῦντες ἔλεος· ὁ δὲ μουσελὴμ ἀναβράσας τῷ θυμῷ εἶπε τοῖς Φράγκοις καὶ ἡμῖν· "Εὕρατε ταχέως τεχνίτας καὶ ἐργάτας ταύτῃ τῇ ὥρᾳ διὰ τὴν καθαίρεσιν τῶν οἰκοδομῶν". Καὶ ταῦτα εἰπών, τὸν ἵππον ἀναβάς, ἐξῆλθεν ἀναβαίνων εἰς τὸ ὄρος τῶν Ἐλαιῶν· ἠκολούθησαν δὲ αὐτῷ καί τινες τῶν προκρίτων, ἐκτὸς τοῦ μουλλᾶ.

Τότε ἦν ἰδεῖν τοὺς Φράγκους-Ἄραβας καὶ τοὺς ἡμετέρους φθάσαντας ἐν ριπῇ εἰς τὸ ὄρος, τοὺς μὲν δικέλλας καὶ σκαπάνας, τοὺς δὲ ἀξίνας καὶ σκεπάρνια, τοὺς δὲ ἄλλο καὶ ἄλλο ἐργαλεῖον φέροντας· οἱ δὲ Ἀρμένιοι ἔμειναν γονυπετοῦντες καὶ παρακαλοῦντες μετὰ δακρύων τὸν μουλλᾶν, ὅπως οἰκονομήσωσι τὸ κρήμνισμα μερικὸν καὶ οὐχ ὁλικόν· καὶ ἔμελλεν ἂν γενέσθαι, ἐὰν μὴ ὁ Θεὸς ἢ αὐτοῖς ἀντιτασσόμενος· ἐφάνη γὰρ θεόθεν τὸ πρᾶγμα, διότι ὁ μουσελὴμ περιμένων τοὺς Ἀρμενίους ἐλθεῖν ὑπὲρ τὴν μίαν ὥραν, καὶ μὴ ἐλθόντων, προσέταξε τὸν αὐτῶν ἐκεῖ ἡγούμενον καὶ τὸν κανδηλάπτην, ἵνα μετατοπίσωσιν ἐκεῖθεν τὰ ἑαυτῶν πράγματα· ἐκείνων δὲ περιμενόντων τοὺς αὐτῶν προεστῶτας καὶ ὀκνούντων, αὐτὸς θυμωθεὶς προσέταξε κρημνίζειν. Μόλις εἶπε τὸν λόγον, καὶ ἰδοὺ ὥρμησαν ἅπαντες ὡς ἀετοὶ ἐπὶ τὸ πτῶμα, Φράγκοι τε καὶ

Ρωμαῖοι, καὶ εἰς μίαν ὥραν ἐκρήμνισαν τὴν ὀροφὴν τῶν κελλίων. Ὁ δὲ Ἀρμενοηγούμενος ἰδὼν τὸ ἄφευκτον τοῦ κρημνισμοῦ παρεκάλει, ὅπως δοθῇ αὐτῷ καιρὸς μετατοπίσαι τὰ ἔνδον πράγματα· ἀλλ' οὐδεὶς ἦν ὁ εἰσακούων· τέλος δὲ ἡμεῖς εὐσπλαγχνισθέντες παρεκαλέσαμεν τὸν μουσελὴμ καὶ μόλις αὐτὸς διὰ τῶν στρατιωτῶν ἠδυνήθη καταπαῦσαι ὀλίγον τὴν ὁρμὴν τοῦ πλήθους. Καὶ τότε βοηθησάντων ἡμῶν ἐν βίᾳ ἐξεβλήθησαν μετατοπισθέντα ὅσα πράγματα ἔμειναν σῶα· πολλὰ γὰρ συνετρίβησαν ἐκ τῶν πεσόντων ἄνωθεν λίθων. Ἀδείᾳ δὲ τοῦ ἡγουμένου εἰσῆλθον καὶ εἰς τὸ ἱερὸν ἐκεῖ Κουβούκλιον ἐκβαλεῖν τὰς εἰκόνας καὶ κανδήλας τῶν Ἀρμενίων καὶ εἴ τι ἄλλο ἦν ἐκεῖ, καὶ οἱ μὲν ὀρθόδοξοι οἰκτίραντες τὴν συμφορὰν τῶν Ἀρμενίων ἐφέροντο ἠπίως καὶ πράως, ἀλλ οἱ Φράγκοι-Ἄραβες ἀσπλάγχνως ἐκβάλοντες ἐκεῖνα τὰ πλεῖστα κατεσύντριψαν. Ταῦτα ἰδὼν ὁ Ἀρμενοηγούμενος παρεκάλεσε τὸν μουσελήμ, ὅπως προστάξῃ μὴ συντρίβειν τὰ τοιαῦτα· ἀλλ' ἐκεῖνοι τὸν κωφὸν προσεποιοῦντο· ἦν δὲ ἐκεῖ ἡ τράπεζα, ἣν ἔβαλον λειτουργεῖν ἐπ' αὐτῆς, ὡς εἴρηται, μαρμαρίνη. Περὶ ταύτης οὖν οἱ παρεστῶτες Ἀρμένιοι καὶ ὁ ἡγούμενος παρεκάλεσαν μετὰ δακρύων τὸν μουσελὴμ πρὸς τὸ μὴ συντριβῆναι· καὶ ὁ μὲν προσέταξεν, οἱ δὲ ὑπήκουσαν· ἀλλὰ φορτώσαντες εἰς τὸν νῶτον ἑνὸς ἐξ αὐτῶν καὶ ἔξω ἐκβαλόντες, ὅτε ἦλθον ἐπί τινος σκληρᾶς πέτρας, ἔρριψαν τὴν πλᾶκα ἐπ' αὐτῆς καὶ συνετρίβη, προσποιηθέντες ὅτι ἔπεσεν ἀπὸ τοῦ βάρους· ὅπερ ἰδὼν ὁ Ἀρμενοηγούμενος ἐλιποθύμησεν ὑπὸ τῆς λύπης. Μετὰ δὲ ἐξέβαλον καὶ τὰς θύρας, ἃς ἔθεντο οἱ Ἀρμένιοι, τὴν ἐπὶ τοῦ Κουβουκλίου καὶ τὴν ἔξω· ὁμοίως καὶ τὰς παραστάδας αὐτῆς καὶ τὸ ὑπέρθυρον, ἢ ἀνώφλιον, ὅπου ἦσαν τὰ Ἀρμενικὰ γράμματα, καὶ ἐνὶ λόγῳ ὅπου ἦν σημεῖον ἢ ἦλός τις τῶν Ἀρμενίων ἐξέβαλον· τὸ δὲ ἐν τῇ περιοχῇ πλακόστρωμα ἡμεῖς μὲν ἠθελήσαμεν μένειν σῶον καὶ μὴ πειραχθῆναι, ἀλλ' οἱ Φράτορες συναγαγόντες τοὺς ὀπαδοὺς αὐτῶν ἐπέσεισαν κατὰ τάχος ἐκβαλεῖν· ἐκβαλόντες δὲ συνέτριψαν τὰς περισσοτέρας πλάκας· ἤρξαντο δὲ ῥίπτειν χῶμα, ὥστε πληρῶσαι καὶ ἐμφράξαι τὰς ἐκεῖ στέρνας, τὴν μέν, ὡς ὀρυχθεῖσαν καὶ κατασκευασθεῖσαν

ὑπὸ τῶν Ἀρμενίων, τὴν δὲ παλαιάν, ὡς ἐπισκευασθεῖσαν ὑπ' αὐτῶν· ἀλλ' ὁ μουσελὴμ ἐκώλυσεν αὐτούς.

Κρημνισθέντων οὖν ἕως θεμελίων καὶ ἀρθέντων ἐκ μέσου πάντων τῶν Ἀρμενικῶν, ἐγένετο σκέψις μεταξὺ ἡμῶν τε καὶ τῶν Φράγκων περὶ τῶν ἐπισκευασθησομένων, καὶ ἀπεφασίσθη, ὅπως ἡ τοιαύτη ἐπισκευὴ γένηται ὑπὸ τοῦ μουσελὴμ καὶ μετὰ τὸ τέλος πληρώσῃ εἰς αὐτὸν ἑκάστη φυλὴ τὸ ἀνάλογον. Οὕτως οὖν ἐγένετο, καὶ τῇ ἐπαύριον ὁ μουσελὴμ μετακαλεσάμενος τὸν μεϊμάρπασην, δηλαδὴ τὸν ἔφορον τῶν οἰκοδομῶν, παρήγγειλεν αὐτῷ, ὅπως ἐπιστατήσας κτίσῃ τοὺς τοίχους κτλ., ὡς ἦσαν πρότερον, τὴν δὲ δαπάνην ἕξει ἐκ τοῦ κοινοῦ ταμείου (χαζινέ). Ἐδιωρίσθησαν οὖν οἰκοδόμοι καὶ ἐργάται ἐξ ἡμῶν τε καὶ τῶν Φράγκων, ἐξ ἡμισείας τρεφόμενοι, οἱ μὲν Ῥωμαῖοι παρ' ἡμῶν, οἱ δὲ Φράγκοι παρ' ἐκείνων· τελειωθείσης δὲ τῆς ἐπισκευῆς, ἔβαλαν καὶ θύρας εἴς τε τὸ ἱερὸν Κουβούκλιον καὶ κλείθρας· ὁμοίως καὶ εἰς τὴν ἔξω πύλην. Ἐν τούτοις δὲ οἱ καλοὶ Φράτορες τεχνάζονται καὶ τελειωθέντος τοῦ ἔργου κρατοῦσι τὰς κλεῖς εἰς τὴν ἑαυτῶν ἐξουσίαν, καὶ αἴφνης τῇ ε' ὀκτωβρίου, ἐκεῖ ὅπου ἦν ἡ καθαιρεθεῖσα τράπεζα τῶν Ἀρμενίων, κτίζουσιν αὐτοὶ ἄλλην, τοῦ λειτουργεῖν ἐπ' αὐτῆς, ὁσάκις ἂν θέλωσι. Μαθόντες δὲ τοῦτο ἡμεῖς στέλλομεν αὐτοῖς εἴδησιν φιλικῶς, ὅτι τὸ τοιοῦτον νεωτέρισμα οὐ δεχόμεθα· ὅθεν καὶ συμβουλεύομεν αὐτούς, ὅπως, καθελόντες τὴν ἣν ἔκτισαν τράπεζαν, ἀροῦσιν ἐκεῖθεν· ἀλλ' αὐτοὶ πολλὰ προφασιζόμενοι οὐχ ὑπήκουσαν. Ὅθεν ἐμηνύσαμεν τοῦτο τῷ μουσελήμ· ὃ δὲ προσέταξεν αὐτοὺς αὐστηρῶς, καὶ δὴ ἦραν ἐκεῖθεν τὴν τοιαύτην τράπεζαν ἢ ἀλτάριον· ἐτροπολόγουν δὲ τὸ πρᾶγμα, ὅπως κρατήσωσι παρ' αὐτοῖς τὰς κλεῖς τοῦ προσκυνήματος· ἀλλ' οὐκ ἠξιώθησαν, διότι μετακαλεσάμενοι αὐτοὺς ὅ τε μουσελὴμ καὶ οἱ λοιποὶ ἔλαβον τὰς κλεῖς καὶ δεδώκασι τῷ ἐφόρῳ τοῦ ὄρους τῶν Ἐλαιῶν, Τούρκῳ, ὃς καὶ πάλαι εἶχεν αὐτὰς καὶ ἔκλειεν καὶ ἤνοιγεν· μετὰ δὲ ἡμέρας ἐνήργησαν οἱ αὐτοὶ καὶ ἐλάβομεν ἑκάστη φυλὴ ἀνὰ ἓν κλειδίον, ὅπως φαινώμεθα καὶ ἡμεῖς αἱ τρεῖς φυλαὶ κύριοι. Τοιαύτην ἀρχὴν καὶ τοιοῦτον τέλος ἔλαβον οἱ τρεῖς ὁρισμοὶ τῶν Ἀρμενίων,

οἵτινες δι' αὐτοὺς ὑπὲρ τὰ δύο, ὡς λέγεται, μιλλιόνια γρόσια ἐδαπάνησαν ἀποτυχόντες τῆς ἐπισκευῆς ἔν τε τῇ Βηθλεὲμ καὶ τῷ ναῷ τῆς Ἀναστάσεως· ἡ δὲ οἰκοδομὴ ἐν τῷ ὄρει τῶν Ἐλαιῶν καὶ ἡ τούτου οἰκειοποίησις οὖσα ἡ μόνη τῆς ἀποτυχίας παραμυθία κατέστη ἀνία καὶ θλῖψις διπλοτέρα καὶ σχεδὸν αἰωνία, βλεπόντων ἐκείνων ὁσημέραι πλησίον τοῦ ναοῦ τὰς πέτρας καὶ χώματα τῶν κρημνισθέντων ὡς λόφον τινά.

Ἀλλ' ἔλθωμεν ἤδη καὶ τὰ καθ' ἡμῶν αὐτῶν διὰ τὴν ἐπισκευὴν συμβάντα ἰδίως γράψαι, τίνι τρόπῳ ἐκωλύθη μέχρι τοῦδε ἔνδον τοῦ ἁγιωτάτου Σπηλαίου τῆς τοῦ Κυρίου γεννήσεως καὶ ἐν τῷ θειοτάτῳ ναῷ τῆς αὐτοῦ Ἀναστάσεως, ἀντιστάντων πρὸ πάντων τῶν Φρατόρων διὰ τῆς Γαλλίας ὡς ἐξῆς. Τοῦ σουλτὰν Μουράτ, ὡς εἴρηται, ὑποκινηθέντος ὑπὸ τῆς [Ῥωσικῆς Κυβερνήσεως] καὶ δι' ἰδίου αὐτογράφου τοὺς μὲν προεκδοθέντας αὐτοῦ τρεῖς ὁρισμοὺς ἀναιρέσαντος καὶ ἀκυρώσαντος, εἰς ἡμᾶς δὲ τὴν ἐπισκευὴν ἀναθεμένου χρείας τυχούσης (λαμβάνοντας ὅμως ἐκ τῶν ἐντοπίων ἱλάμι καὶ κατ' ἐκεῖνο ἄλλου ὁρισμοῦ διδομένου), ἡμεῖς ἐδοκιμάσαμεν δὶς καὶ τρὶς καὶ ἠγωνίσθημεν, ὅπως ὁ τοιοῦτος ὁρισμὸς ἐνεργηθῇ καὶ διὰ τὴν ἐπισκευήν· ἀλλ' ἡ Αἰγυπτιακὴ Ἐξουσία, θέλουσα τάχα ἀμεροληψίαν καὶ εἰς τὰ τρία ἔθνη, ἀνέβαλε τὸν καιρὸν πρὸς τὰ τοιαῦτα. Συμβάντος δὲ τοῦ μεταξὺ τῆς Πόρτας καὶ αὐτῆς πολέμου, εἶτα δὲ καὶ ἐξώσεως αὐτῆς ἀπὸ τῆς Συρίας καὶ ὅλης τῆς Παλαιστίνης διὰ τῆς τριπλῆς συμμαχίας τῷ ,αωλθ' (1839) καὶ ,αωμ' (1840) παυσάντων ὅλων τῶν θορύβων, τῷ ,αωμα' (1841) ἀπεστάλη ὁ εἰς χεῖρας ἡμῶν ὁρισμὸς πρὸς τὴν αὐτοῦ μακαριότητα, ἵνα παρρησιάσῃ αὐτὸν καὶ εἰς τὸν υἱὸν καὶ διάδοχον αὐτοῦ τοῦ σουλτὰν Μαχμούτ, Ἀπτοὺλ-Μετζήτ, καὶ ἐπικυρώσῃ καὶ οὗτος αὐτὸν τῇ ἰδίᾳ χειρί· ὃ καὶ ἐγένετο. Ἔλαβε δὲ ὁ μακαριώτατος καὶ ἄλλον ὁρισμὸν ἀπ' αὐτοῦ τὴν αὐτὴν ἔννοιαν περιέχοντα, ὅπως δηλαδὴ γένηται κέσφι ὑπὸ τῶν ἐν Ἱερουσαλὴμ κριτῶν δι' ὁποιανδήποτε ἐπισκευήν, καὶ καταγραφῶσιν οἱ χρείαν ἐπισκευῆς ἔχοντες τόποι, καὶ οὕτω δοθέντος ἱλαμίου πρὸς τὴν Ὑψηλὴν Πόρταν ἐκδοθῇ κατ' ἐκεῖνο ἄλλος ὁρισμός.

Ἀποστείλαντος οὖν τὸν ὁρισμὸν ἐκεῖνον τοῦ μακαριωτάτου ἐν Ἱερουσαλήμ, ἀνεγνώσαμεν αὐτὸν πρῶτον εἰς τὸν Μεχκεμέν, εἶτα δὲ εἰς τὸν θεῖον ναὸν τῆς Ἀναστάσεως, προσκαλέσαντες τὸν μουλλᾶν, μουσελὴμ καὶ τοὺς λοιπούς, οἵτινες παρελθόντες ὅλον τὸν ναὸν κατέγραψαν, κατὰ ζήτησιν ἡμῶν, τοὺς ἑξῆς τόπους· πρῶτον, τὸν μολυβδοσκέπαστον αὐτὸν μέγαν κουμπὲ τοῦ Παναγίου Τάφου ἔσωθέν τε καὶ ἔξωθεν· δεύτερον, τὸ ὑπ' αὐτὸν Ἱερὸν Κουβούκλιον, διαρραγὲν ἐκ τοῦ σεισμοῦ· τρίτον, τὸ μέρος ὅπου τὸ "Μή μου ἅπτου" παρεκκλήσιον τῶν Λατίνων καὶ τὸ ἐκεῖθεν ἕως τοῦ παρεκκλησίου τῶν Κλαπῶν ἐκτεινόμενον μέρος, ὅπως πλακοστρωθῶσι· τέταρτον, ἵνα κτισθῇ μία καμάρα, ὅπου οἱ κοινοὶ τόποι, ἢ ἀπόπατοι, πρὸς στήριγμα τοῦ βορείου τοίχου τοῦ ναοῦ· πέμπτον, ὅπως ἀλειφθῇ ἀσβέστῳ ὅλος ὁ ναός, ὅπου δεῖται· ἕκτον, ὅπως πλακοστρωθῇ ὁ ναὸς τῆς Εὑρέσεως τοῦ τιμίου Σταυροῦ καὶ ἀλειφθῇ ἀσβέστῳ ἔσωθεν καὶ ἔξωθεν ὁ αὐτοῦ κουμπές· ἕβδομον, ὅπως πλακοστρωθῇ τὸ περὶ τὴν Ἁγίαν Ἀποκαθήλωσιν ἔδαφος· ὄγδοον, ὁ ναὸς τῶν Ἀρμενίων ὁ ἐπὶ τῶν Κατηχουμένων ὅπως ἀλειφθῇ ἀσβέστῳ καὶ πλακοστρωθῇ· ἔνατον, ἡ ἔμπροσθεν τῆς Ἁγίας Πόρτας αὐλὴ ὅπως πλακοστρωθῇ· δέκατον, ὁ κοινὸς Θρόνος τῆς ἁγίας Ἑλένης λεγόμενος ὅπως ἐπιστηριχθῇ, ὡς ἐπαπειλῶν πτῶσιν· ἑνδέκατον, ὅπως τὰ ὄπισθεν τοῦ μύακος, ἢ ἀχυβάδος, τοῦ ναοῦ δώματα πλακοστρωθῶσι· δωδέκατον, ὅπως καὶ τὸ ἐπάνω τοῦ σπηλαίου, ἐν ᾧ εὑρέθη ὁ ζωοποιὸς σταυρός, πλακοστρωθῇ, ὡς κατὰ τὸν χειμῶνα σταλάζον ὕδωρ. Προσετέθη δὲ τούτοις καὶ τὰ περὶ τὴν ἁγίαν Βηθλεὲμ καὶ τοῦ Ἁγίου Σπηλαίου κεφάλαια, ὅπως δηλαδὴ ἐπισκευασθῇ ὁ ἐκεῖ μέγας ναός, πλακοστρωθῇ κάτωθεν μὲν διὰ πλακῶν λιθίνων, ἄνωθεν δὲ διὰ μολυβδίνων κτλ., καὶ ὅπως ἀλειφθῇ δι' ἀσβέστου· τὸ αὐτὸ καὶ περὶ τοῦ Ἁγίου Σπηλαίου, ἀλλαχθέντων τῶν ἐν αὐτῷ μαρμάρων κτλ.

Τούτων πάντων καταγραφέντων ἐγένετο καὶ ἴλάμιον ὑπὸ τῶν ἐντοπίων, ὑπογραψάντων καὶ τὰς σφῶν σφραγῖδας θέντων· ὅπερ τῷ μακαριωτάτῳ ἀπεστείλαμεν· ὃ δὲ τοῦτο τῇ Ὑψηλῇ Πόρτα

παρρησιάσας ἔλαβεν ὁρισμὸν δι' αὐτογράφου βασιλικοῦ τοῦ Ἀπτοὺλ-Μετζήδ, συγχωροῦντα καὶ διορίζοντα τὴν ἐπισκευὴν γενέσθαι ὑπὸ τῶν Ῥωμαίων· ὃν καὶ ἀπέστειλεν εἰς Ἱερουσαλὴμ τῷ ,αωμβ', κατὰ τὸν ἰανουάριον. Κατόπι δὲ ἐστάλη ὑπὸ τῆς Ὑψηλῆς Πόρτας καὶ χοτζεκιάν, ὃς διὰ τοῦ ἀτμοπλοίου ἐξελθὼν εἰς τὴν Βηρυτὸν ἐκεῖθεν διὰ ξηρᾶς ἦλθεν εἰς Ἱερουσαλὴμ μετὰ τοῦ σερασκὲρ-πασᾶ, ἀρχιστρατήγου τῆς Συρίας, ἐλθόντος καὶ αὐτοῦ εἰς προσκύνησιν τοῦ Χαρὲμ-σερὶφ καὶ τῆς Χεβρῶνος. Οὗτος δὲ ὁ χοτζεκιάν, ὡς ἔοικεν, ἦν ὑπό τινος τῶν τῆς Πόρτας προδεδιδαγμένος, καὶ ἐλθὼν εἰς Ἱερουσαλὴμ οὐκ ἦλθε καταλῦσαι παρ' ἡμῖν, ὡς ἔθος, ἀλλ' ἔμεινε μετὰ τοῦ σερασκέρ, μηδενὸς γινώσκοντος ὅτι ἐστὶν ὁ ἀποσταλεὶς χοτζακιάν· μετὰ δὲ τρεῖς ἡμέρας τοῦ σερασκὲρ χωρισθεὶς ἐλθὼν κατέλυσεν εἰς τὸ παλαιὸν Πατριαρχεῖον τῶν Φράγκων, Χάγκε ὑπὸ τῶν Τούρκων λεγόμενον, περὶ οὗ εἴρηται πρότερον, ὅτι μετεβλήθη εἰς τζαμὶ ὑπὸ τοῦ Σελαδίνου. Ἐκεῖ οὖν ἐφανέρωσεν ἑαυτόν, ὅτι ἐστὶν ὁ χοτζεκιάν, ὁ διὰ τὴν ἐπισκευὴν σταλείς· ὅπερ μαθόντες ἡμεῖς ἀνήλθομεν παρ' αὐτῷ, παρακαλοῦντες ὅπως ἐλθὼν καταλύσῃ παρ' ἡμῖν, καὶ δεδώκαμεν αὐτῷ οἶκον καλὸν πλησίον τοῦ Πατριαρχείου. Ἀλλ' αὐτὸς οὐκ ἤρεσεν αὐτόν· εἶτα δὲ ἐζήτησε τὸν οἶκον, ὃν εἴχομεν ἡτοιμασμένον διὰ τοὺς κονσόλους τῆς εὐσεβεστάτης Ῥωσσικῆς αὐτοκρατορίας, ἵνα καταλύωσιν ἐρχόμενοι εἰς Ἱερουσαλήμ· μὴ δυναμένων δὲ ἡμῶν δοῦναι τὸν τοιοῦτον οἶκον αὐτῷ, ἐπικράνθη· δεδώκαμεν δὲ ἄλλον οἶκον αὐτῷ, οἷον ἠθέλησεν· ἀλλ' αὐτὸς ἐκότει, καὶ φυλάττων μῖσος διέμεινεν. Οἱ δὲ Φράτορες τοῦτο γνωρίσαντες οὐ διέλειπον, καιροῦ τυγχάνοντες, κολακεύειν αὐτὸν καὶ φιλοφρονήσεις αὐτῷ ἐνδεικνύμενοι κτλ. Τὸ δ' αὐτὸ καὶ οἱ Ἀρμένιοι κρυφίως ἐποίουν ὕστερον, ὡς ῥηθήσεται. Τῇ δὲ τῶν Βαΐων ἑβδομάδι ἔφθασε καὶ κάλφας, παρὰ τοῦ μακαριωτάτου σταλεὶς μετὰ διαφόρων τεχνιτῶν διὰ τὴν ἐπισκευήν, οἷον τεκτόνων, οἰκοδόμων, λατόμων καὶ ἄλλων. Ταῦτα δὲ βλέποντες οἱ Ἀρμένιοι ἐναντίον τῆς γνώμης αὐτῶν ὄντα, ὁρισμοὺς δηλαδὴ βασιλικούς, χοτζεκιάν, ἀρχιτέκτονα καὶ τεχνίτας καὶ ὕλην προαποσταλεῖσαν καὶ στελλομένην ἐκ Κωνσταντινουπόλεως καὶ

ἄλλων μερῶν, ἐφθόνησαν, καὶ φθονοῦντες ἠγανάκτησαν καὶ διελογίσαντο, ὅπως ποιήσωσιν ἀπόπειράν τινα εἰς τὸ ἐμποδίσαι ὅλως ἢ βραδῦναι κἂν τὴν ἀρχὴν τοῦ ἔργου· ἦν δὲ ἡ ἀπόπειρα αὕτη.

Τῇ Κυριακῇ τῶν Βαΐων, ἀπριλίου ιβ' (1842), μετὰ τὴν λαμπρῶς τελεσθεῖσαν ὑπὸ τριῶν ἀρχιερέων ἱερουργίαν ἡμῶν ἐξῆλθον ὅλον τὸ ἱερατεῖον ἡμῶν καὶ ὁ εὐσεβὴς λαὸς λιτανεύοντες, ὡς ἔθος, περὶ τὸ Ἱερὸν Κουβούκλιον τοῦ Παναγίου Τάφου μετὰ βαΐων καὶ κλάδων· τότε δὲ ἰδοὺ ἐκεῖσε πάλιν προσκυνηταὶ Ἀρμένιοι ἔρχονται εἰς λόγους ὑβριστικοὺς μετὰ τῶν ἡμετέρων, εἶτα δὲ εἰς διαπληκτισμοὺς καὶ τελευταῖον εἰς μάχην σκληράν, χείρονα ἐκείνης, ἣν προεγράψαμεν· οἱ γὰρ Ἀρμένιοι προσκυνηταὶ ὄντες προητοιμασμένοι ἔκρουον ἀφειδῶς τοὺς ἡμετέρους, ἂν καὶ διὰ τῶν χειρῶν καὶ ποδῶν, ἀλλ' οὖν εἰς καίρια μέρη· καὶ δὴ ἐνίκησαν αὐτοὺς καὶ ὠθοῦσιν ἔνδον τοῦ Καθολικοῦ ἀνδρείως, καὶ γίνεται μεγάλη κραυγὴ τοσούτου πλήθους τῶν γυναικῶν, ἐξ ὧν καὶ δύο ἐγκυμονοῦσαι ἀπέβαλον. Τρέχουσι τὸ ἱερατεῖον ὑπὲρ τοὺς ἑκατὸν ὄντες εἰσελθεῖν ἔνδον τοῦ Ἁγίου Βήματος, ὁμοίως καὶ οἱ ἀρχιερεῖς, καὶ καταπατοῦσιν ἀλλήλους καὶ σχίζονται τὰ χρυσοῦφαντα ἄμφια. Πληροῦται τὸ Ἱερὸν Βῆμα γυναικῶν, τρεμουσῶν ἐκ τοῦ φόβου, συντρίβονται κανδῆλαι, λαμπάδες κτλ., καὶ γίνεται μέγα κακόν· αἱ ψαλμῳδίαι καὶ ἡ λιτανεία παύουσι καὶ φωναὶ καὶ ἀλαλαγμοὶ κροτοῦσιν. Οἱ Ἀρμενοκαλόγηροι ὡς ἐκ συνθήματος καλοῦσι παρευθὺς τὸν πασᾶν· ὃς μετὰ σπουδῆς λαβὼν τριακοσίους τακτικοὺς ἔφθασεν εἰς τὸν ναὸν καὶ μόλις ἡσύχασε τὸν θόρυβον, ἐκβαλὼν ἐκ τοῦ ναοῦ πρῶτον τοὺς Ἀρμενίους, εἶτα τοὺς ὀρθοδόξους. Οὕτω μὲν οὖν κατέπαυσεν ἡ ἀπευκταία αὕτη μάχη, μὴ συμβάντος ἐλέει θείῳ φόνου· ἐμείναμεν δὲ ἄνευ λιτανείας οὐ μόνον ἡμεῖς, ἀλλὰ καὶ αὐτοὶ οἱ Ἀρμένιοι καὶ Κόπται καὶ Σύροι, καὶ ἡ δεσποτικὴ καὶ λαμπρὰ ἐκείνη ἑορτὴ κατέστη ἡμέρα φόβου καὶ τρόμου. Ἐν ᾧ δὲ μελετῶσιν οἱ Ἀρμένιοι καὶ καταγίνονται εἰς τὸν πασᾶν καὶ μουλλᾶν ἀποδεῖξαι ἡμᾶς ἐνόχους, ἰδοὺ περὶ τὴν ἑσπέραν αὐτῆς τῆς ἡμέρας συμβαίνει τὸ ἑξῆς.

Τινῶν ὀρθοδόξων προσκυνητῶν διερχομένων ἔμπροσθεν τοῦ μο-

ναστηρίου αὐτῶν (τοῦ ἁγίου Ἰακώβου), ἰδοὺ ὁρμοῦσιν ἐπ' αὐτοὺς ἄλλοι προσκυνηταὶ Ἀρμένιοι πολλοί, καὶ συλλαβόντες αὐτοὺς ἔκρουον ἀσπλάγχνως. Τότε εἷς τῶν κρουομένων διαφυγὼν τὰς χεῖρας αὐτῶν τρέχει δρομαίως εἰς τὴν ἐκεῖ πλησίον οὖσαν Ἀκρόπολιν καὶ ἀναγγέλλει τὸ γεγονός, παρακαλῶν ἅμα ὅπως τάχος δραμόντες λυτρώσωσι τοὺς ἀναιτίους ἐκ τῶν χειρῶν τῶν Ἀρμενίων. Στέλλονται οὖν πέντε τακτικοί· ἀλλ' οὗτοι οὐ μόνον οὐκ ἠδυνήθησαν τοὺς τυπτομένους σῶσαι, ἀλλὰ καὶ αὐτοὶ μετέσχον τῆς χειροτονίας· στραφέντες δὲ μηνύουσι τοῦτο τῷ μιραλάγῃ καὶ τῷ πασᾷ. Καὶ δὴ παρευθὺς στέλλονται δύο ἑκατόνταρχοι μετὰ στρατιωτῶν, καὶ συλλαμβάνουσιν ὅσους Ἀρμενίους εὗρον ἔμπροσθεν τοῦ μοναστηρίου—ἦσαν δὲ τριάκοντα—, καὶ δεσμεύσαντες ἔσυρον εἰς τὸ Πραιτώριον καὶ ἐφυλάκισαν. Τῇ αὐτῇ νυκτὶ ἐπίασαν καὶ τὸν παραδραγουμᾶνον Ἀρμένιον μαρτυρηθέντα, ὅτι αὐτὸς παρεκίνει τοὺς Ἀρμενίους κρούειν τοὺς ὀρθοδόξους, λέγων συνεχῶς τουρκιστί "Βούρουνους κιοπεκλαρί", δηλαδὴ "Κρούετε τοὺς κύνας", ἐννοῶν ἡμᾶς. Τῇ ἐπαύριον οἱ μὲν ὀρθόδοξοι ἀνῆλθον εἰς τὸν Ἰορδάνην, ὡς ἔθος, αὐτοὶ δὲ ἐξήγαγον τοὺς φυλακισθέντας δαπανήσαντες οὐκ ὀλίγα. Οὐκ ὠφέλησεν οὖν αὐτοὺς τὸ ἐπιχείρημα πρὸς τὸ κωλῦσαι οὕτω πως τὴν ἐπισκευήν.

Συμφωνήσαντες δὲ μετὰ τῶν Φράγκων, ὡς ἤδη ἡνωμένοι ἐναντίον ἡμῶν, παρεκίνησαν τὸν χοτζεκιὰν καὶ διὰ λόγων καὶ δι' ἔργων, ὅπως μὴ ἐνδώσῃ εἰς ὅλας τὰς βουλὰς καὶ θελήματα ἡμῶν· ἐφ' οἷς καὶ οἱ Ἱεροσολυμῖται ἀγάδες ὑπ' αὐτῶν δωροδοκούμενοι ἦσαν συνήγοροι, καθοδηγοῦντες αὐτοὺς ὡς ἐξῆς. Καὶ γὰρ μετὰ τὸ Πάσχα τοὺς προσκυνητὰς προπέμψαντες εἰς τὰ ἴδια ἐν εἰρήνῃ εὐθέως ἠρξάμεθα ἀγωνίζεσθαι περὶ τοῦ προκειμένου ἡμῖν ἔργου. Πρῶτον μὲν οὖν συγκαλέσαντες εἰς τὸν ναὸν τῆς τοῦ Χριστοῦ Ἀναστάσεως τοὺς κριτάς τε καὶ προκρίτους σὺν τῷ μουλλᾷ, μετὰ τὴν ἀνάγνωσιν τῶν ὁρισμῶν ἐποιήσαμεν τὸ σύνηθες κέφι, παρερχομένου τοῦ χοτζακιὰν μετὰ τοῦ κάλφα καὶ θεωροῦντος ἀνὰ ἕκαστον τῶν ἐπισκευασθησομένων τόπων, καὶ ἐρωτῶντος καὶ ἐξετάζοντος διὰ τὸ ἓν καὶ διὰ τὸ ἄλλο· ὅτε δὴ καὶ ἑαυτὸν ἐφανέ-

ρωσεν, ὁποῖος ἦν, καὶ ποῦ ἔκλινε καὶ ὑπὸ τίνων ἐδιδάχθη· εἶπε γάρ, ὅτι τὸ Ἱερὸν Κουβούκλιον οὐδόλως ἔχει χρείαν ἐπισκευῆς· περὶ δὲ τοῦ μεγάλου κουμπέ, ὅτι ὀλίγης δεῖται διορθώσεως ἔσωθέν τε καὶ ἔξωθεν καὶ ὅτι τὰ πλακοστρώματα οὐκ ἔστιν ἀνάγκη γενέσθαι ἐξ ὁλοκλήρου, ἀλλὰ πλάκας τινὰς συντετριμμένας ἀλλάξαι, καὶ ἄλλα τοιαῦτα, ἅπερ ἦσαν λόγια ἐχθρῶν καὶ οὐχὶ ἀνδρὸς τρεφομένου παρ' ἡμῶν καὶ λαμβάνοντος τόσον μηνιαῖον. Μετὰ τὸ κέσφι δὲ τοῦτο καὶ εἰς τὴν ἁγίαν Βηθλεὲμ ἀπήλθομεν, ὅπου πολλαὶ λογομαχίαι συνέβησαν μεταξὺ ἡμῶν τε καὶ τῶν Φρατόρων καὶ Ἀρμενίων διὰ πολλά, ἅπερ οὐ γράφω διὰ τὸ σύντομον.

